BYZANTINE GREEK SERIES · VOLUME 50

The History of Mehmed the Conqueror

Kritoboulos of Imbros

ΞΥΓΓΡΑΦΗ ΙΣΤΟΡΙΩΝ

The History of Mehmed the Conqueror

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 50 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows C. Müller,
Fragmenta Historicorum Graecorum V (Paris, 1870)

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The text is Müller's, with his capitals and punctuation; a few plain misprints are corrected. An asterisk after a word is his, where he marks a fault in the text. The margin gives his chapter and section where a paragraph begins.

CONTENTS

The Letter to the Sultan 7
I · The Fall of Constantinople 14
II · Ainos, Serbia, and the Islands 190
III · The Peloponnese 247
IV · Sinope, Trebizond, and Lesbos 319
V · The Venetian War and Albania 378

THE LETTER TO THE SULTAN

Kritoboulos of Imbros dedicates his history to Mehmed, whose deeds equal Alexander's and deserve record in Greek as well as in Persian and Arabic. He set them down from inquiry among those who knew, in five books covering seventeen years, and sends the work for the sultan's judgment, ready to yield to better writers.

Αὐτοκράτορι μεγίστῳ βασιλεῖ βασιλέων Μεχεμέτει, εὐτυχεῖ, 1
to-sovereign greatest king of-kings Mehmed fortunate
νικητῇ, τροπαιούχῳ, θριαμβευτῇ, ἀηττήτῳ, κυρίῳ γῆς καὶ
victor trophy-bearer triumpher unconquered lord of-earth and
θαλάσσης θεοῦ θελήματι, Κριτόβουλος δοῦλος εὐτελής.
of-sea by-God's will Kritoboulos slave humble
Πολλῶν καὶ μεγάλων ἔργων αὐτουργὸν ὄντα σε ὁρῶν, ὦ 2
many and great works doer being you seeing O
μέγιστε αὐτοκράτωρ, καὶ πολλῶν καὶ μεγάλων τῶν πάλαι
greatest sovereign and many and great the of-old
φημὶ στρατηγῶν τε καὶ βασιλέων κρατοῦντα, οὐ μόνον
I-say generals both and kings surpassing not only
Περσῶν τε καὶ τῶν ἄλλων γενῶν, ἀλλὰ δὴ καὶ Ῥωμαίων
of-Persians both and of-the other peoples but indeed also of-Romans
τε καὶ Ἑλλήνων, ἐπί τε δόξῃ καὶ ἀνδρείᾳ καὶ φρονήσει καὶ
both and of-Hellenes in both glory and courage and prudence and
στρατηγικῇ ἀρετῇ οὐδ' ὅσον ἐξεῖναι καὶ παραβάλλειν,
generalship virtue not-even so-much-as to-be-possible even to-compare
οὐ δίκαιον ᾠήθην ἐκείνους μὲν καὶ τὰ ἐκείνων ἔργα καὶ
not just I-thought those indeed and the their works and
πράξεις ἐξ ἐκείνου μέχρι καὶ νῦν τῇ διαδοχῇ τοῦ χρόνου
deeds from that(-time) until even now by-the succession of-the time
παραδοθέντα ταῖς Ἑλληνικαῖς ἱστορίαις καὶ ξυγγραφαῖς
handed-down by-the Hellenic histories and writings

ᾄδεσθαι καὶ θαυμάζεσθαι παρὰ πᾶσι καὶ μνήμης ἐς ἀΐδιον
to-be-sung and to-be-marveled-at among all and memory for everlasting
ἀπολαύειν, σὲ δὲ, τοιοῦτον ὄντα καὶ τηλικοῦτον, πάσης
to-enjoy you but such being and so-great all
τε σχεδὸν τῆς ὑφ' ἡλίου κρατοῦντα καὶ λαμπροῖς
both nearly the(-land) under sun ruling and with-brilliant
καὶ μεγάλοις σεμνυνόμενον ἔργοις, ἐς τὸν ἔπειτα χρόνον
and great being-exalted works for the after time
ἀμάρτυρον ἔχειν τὴν ἀρετὴν, καὶ τὰ πλεῖστα καὶ μέγιστα
unwitnessed to-have the virtue and the most and greatest
καὶ κάλλιστα τῶν ἔργων τῶν σῶν ὥσπερ τινὰ τῶν
and fairest of-the works the yours as some of-the
ἀφανῶν καὶ ἀδόξων μηδεμιᾶς γοῦν μνήμης ἢ ξυγγραφῆς
obscure and inglorious no at-any-rate memory or writing
Ἑλληνικῆς ἀξιῶσαι τοὺς νῦν, ἀλλ' ἐᾶσαι ταῦτα
Hellenic to-deem-worthy the(-men) now but to-let these(-things)
λήθης παραδοθῆναι βυθοῖς, καὶ τὰ μὲν τῶν ἄλλων ἔργα,
of-oblivion to-be-handed-over to-depths and the indeed of-the others works
σμικρά τε ὄντα καὶ κατ' οὐδὲν ἐπεοικότα τοῖς σοῖς,
small both being and in nothing resembling to-the yours
πολύ τοι ἐπιφανέστερα καὶ ἐπικυδέστερα ἐς ἀνθρώπους
much surely more-famous and more-glorious among men
ἕνεκά γε Ἑλλήνων καὶ τῆς Ἑλλήνων ἱστορίας γενέσθαι,
for-the-sake at-least of-Hellenes and of-the of-Hellenes history to-become
τὰς δὲ σὰς πράξεις, μεγίστας τε οὔσας καὶ κατ' οὐδὲν
the but your deeds greatest both being and in nothing
ἀπεοικυίας τῶν Ἀλεξάνδρου τοῦ Μακεδόνος καὶ τῶν κατ'
falling-short of-the of-Alexander the Macedonian and of-the in
ἐκεῖνον στρατηγῶν τε καὶ βασιλέων, μὴ ἑλληνικῶς ἐς
that(-time) generals both and kings not in-Hellenic to
τοὺς Ἕλληνας ἐκδοθῆναι μηδὲ τῷ μετὰ ταῦτα χρόνῳ,
the Hellenes to-be-published nor to-the after these(-things) time

παραδοθῆναι ἐς ἔπαινον μὲν ἀγήρω καὶ τιμὴν τοῦ
to-be-handed-down for praise indeed ageless and honor of-the(-one)
κατωρθωκότος, μίμημα δὲ καὶ μάθημα κάλλιστον τοῖς
having-achieved(-them) imitation but and lesson fairest for-the
σπουδαίοις· καίτοι σύ γε δὴ μόνος βασιλέων ἢ κομιδῇ
earnest and-yet you at-least indeed alone of-kings or altogether
ξὺν ὀλίγοις ἔργα ξυνῆψας καὶ λόγους καὶ φιλοσοφίαν καὶ
with few works joined and words and philosophy and
βασιλείαν, ὁ αὐτὸς ὢν "βασιλεύς τ' ἀγαθὸς κρατερός
kingship the same being emperor both good mighty
τε μαχητής". Διὸ δή μοι καὶ προσῆκόν τε ἅμα
and warrior wherefore indeed to-me also fitting both at-once
καὶ δίκαιον ἔδοξε τῇ σῇ ἀγαθῇ τύχῃ θαρρήσαντι
and just it-seemed with-the your good fortune having-taken-courage
τὸν παρόντα πόνον ἀναδέξασθαι, καὶ τὰς σὰς ἀριστείας
the present labor to-take-up and the your prowess
καὶ πράξεις, πολλῷ τῶν ἄλλων διαφερούσας κατά τε
and deeds by-much from-the others differing in both
πλῆθος καὶ μέγεθος, ὡς οἷόν τέ μοι, ἑλληνικῇ ξυγγραφῇ
multitude and greatness as possible — for-me to-Hellenic writing
παραδοῦναι. Ἴσως μὲν γὰρ καὶ πολλοὶ τῶν ἐλλογίμων
to-hand-down perhaps indeed for also many of-the learned
Ἀράβων τε καὶ Περσῶν ἀκριβέστερον ἀναγράψουσι ταύτας
Arabs both and Persians more-exactly will-record these
καὶ τοῖς ἐφεξῆς παραδώσουσιν, ἐπιστάμενοί τε καλῶς
and to-the(-ones) after will-hand-down knowing both well
καὶ παρηκολουθηκότες τοῖς ἔργοις· οὐδὲν δὲ οἷον ἡ τῶν
and having-followed the works nothing but such-as the of-the
Ἑλλήνων φωνὴ, μέγιστον ἔχουσα παρὰ πᾶσι τὸ κλέος.
Hellenes tongue greatest having among all the renown
Κἀκεῖνα μὲν Πέρσαις καὶ Ἄραψιν ἔσται γνώριμα μόνοις καὶ
and-those indeed to-Persians and Arabs will-be known alone and

τοῖς ἐπαΐουσι τὴν ἐκείνων φωνήν· ταῦτα δὲ οὐχ Ἕλλησι
to-the(-ones) understanding the their tongue these but not to-Hellenes
μόνον, ἀλλὰ καὶ τοῖς ἑσπερίοις ἅπασι τῶν γενῶν, καὶ δὴ
only but also to-the western all of-the peoples and indeed
καὶ τοῖς ἔξω Στηλῶν καὶ τοῖς τὰς Βρεττανικὰς
also to-the(-ones) beyond the-Pillars and to-the(-ones) the British
νήσους οἰκοῦσι καὶ πολλοῖς ἄλλοις κοινή τις ἔσται
islands inhabiting and to-many others common some will-be
φιλοτιμία καὶ θαῦμα ἐς τὴν ἐκείνων γλῶτταν ἑρμηνευθέντα,
pride and wonder into the their tongue translated
φιλέλλησί τε οὖσι καὶ τὰ τοιαῦτα σπουδαίοις. Ὃ
philhellenes both being and in-the such(-things) earnest which
δή με καὶ μᾶλλον ἐπῆρε πρὸς τοῦτο, πολλοὺς ἕξειν
indeed me also more stirred toward this many to-have
λογιζόμενον καὶ κριτὰς καὶ μάρτυρας τῆς ἐμῆς ξυγγραφῆς.
reckoning both judges and witnesses of-the my writing

4 Τοίνυν, ὦ μέγιστε αὐτοκράτωρ, πολλὰ μογήσας ἤδη,
therefore O greatest sovereign many having-toiled already
οὐδὲ γὰρ αὐτὸς τοῖς ἔργοις ἐπέστην, ἵνα δὴ καὶ τὸ
not-even for myself at-the works I-was-present so-that indeed also the
ἀκριβὲς τούτων εἰδείην, ἀλλ᾽ ἱστορῶν τε ἅμα καὶ
exactness of-these(-things) I-might-know but inquiring both at-once and
πυνθανόμενος τῶν εἰδότων καὶ ὡς ἐνῆν ἀκριβῶς
learning-by-asking from-the(-ones) knowing and as was-possible exactly
ἐξετάζων, ξυντέταχα τοῦτο τὸ βιβλίον ἐν πέντε τμήμασι
examining I-have-composed this the book into five sections
διελών, ἀρχὴν τῆς ξυγγραφῆς ποιησάμενος ἥνπερ καὶ
having-divided beginning of-the history having-made which also
αὐτὸς ἐποιήσω τῆς βασιλείας, ἐκ τῆς Ἀσίας ἐς τὴν
yourself you-made of-the kingship from — Asia into —
Εὐρώπην τὸ πρῶτον διαβάς, μεταστάντος σοι τοῦ
Europe the first having-crossed having-departed for-you the

πατρός. Περιέχει δὲ τόν τε πόλεμον τῶν Ῥωμαίων καὶ
father it-contains and the both war of-the Romans and
τὴν τῆς πόλεως ἅλωσιν, τά τε τῆς Αἴνου καὶ τῶν
the of-the city capture the both — of-Ainos and of-the
Φωκαιέων καὶ δὴ καὶ τῶν Τριβαλλῶν ὡς ἐπράχθη, καὶ
Phokaians and indeed also of-the Triballians how it-was-done and
τὴν ὅλην τούτων καταστροφὴν καὶ δουλείαν, ἔτι δὲ τὴν
the whole of-these subjugation and slavery further and the
ἐς Πελοπόννησον πρώτην καὶ δευτέραν ἐσβολήν, καὶ ὡς
into Peloponnese first and second invasion and how
ἐχειρώθη πᾶσα καὶ αἱ ἐν αὐτῇ πόλεις καὶ τὰ φρούρια, καὶ
was-subdued all and the in it cities and the fortresses and
κατέστη φόρου ὑποτελής· προσέτι δὲ τὰ κατὰ Σινώπην
it-was-made of-tribute subject moreover and the at Sinope
καὶ Τραπεζοῦντα, πόλεις λόγου ἀξίας καὶ τῶν ὀνομαστῶν,
and Trebizond cities of-account worthy and of-the renowned
καὶ ὡς παρεχώρησαν αὗται ὁμολογίᾳ, καὶ πᾶσα ἡ τούτων
and how yielded these by-agreement and all the of-these
ἔξω χώρα (καὶ) κατήκοος γέγονε τῷ βασιλεῖ· ἔτι γε
outside land and subject has-become to-the emperor further at-least
μὴν τὴν ἐπανάστασιν Δράκουλι καὶ Γετῶν ἀποστασίαν καὶ
indeed the uprising of-Drakoulis and of-Getai revolt and
τὴν ἐς τὴν αὐτῶν ἐσβολὴν τοῦ βασιλέως καὶ καταστροφὴν
the into the their invasion of-the emperor and subjugation
καὶ δουλείαν σφῶν, καὶ ὡς κατέστη κύριος τούτων ὁ
and slavery of-them and how was-made lord of-these —
Ῥάδος παρὰ τοῦ βασιλέως, ἀπελαθέντος Δράκουλι τοῦ
Radu by the emperor having-been-driven-out Drakoulis the
ἀδελφοῦ, τήν τε Μιτυλήνης καὶ Λέσβου ἅλωσιν πάσης,
brother the both of-Mytilene and of-Lesbos capture whole
νήσου μετά γε τὰς πρώτας μιᾶς δὴ τῶν ὀνομαστῶν
island after at-least the first one indeed of-the renowned

καὶ πάνυ γνωρίμων ἐπί τε δόξῃ καὶ μεγέθει καὶ δυναστείᾳ
and very well-known for both glory and greatness and power
καὶ πλούτῳ· ἔτι δὲ τὴν ἐς Δαλμάτας καὶ Βόστρους
and wealth further and the into Dalmatians and Bosnians
καὶ Παίονας πρώτην καὶ δευτέραν ἐσβολήν, καὶ ὡς
and Paionians first and second invasion and how
ἐχειρώθη πᾶσα ἡ τούτων καὶ κατεστράφη, πολίσματά τε
was-subdued all the of-these and was-subjugated towns both
ἑάλω καὶ φρούρια ὀλίγου δεῖν τριακόσια, καὶ οἱ τούτων
were-taken and fortresses little lacking three-hundred and the of-these
ἡγεμόνες ἐλήφθησαν· πρὸς δέ γε τὴν ἐς Ἰλλυριοὺς
leaders were-taken besides and indeed the into Illyrians
τοὺς ἐν τῷ Ἰονίῳ κόλπῳ πρώτην καὶ δευτέραν ἐσβολὴν
the(-ones) in — Ionian gulf first and second invasion
καὶ τὴν τούτων καταστροφήν· τόν τε πενταετῆ πόλεμον
and the of-these subjugation the both five-year war
Ἐνετῶν καὶ τὴν τούτων πρώτην καὶ δευτέραν ἥτταν ἐν
of-Venetians and the of-these first and second defeat in
Πελοποννήσῳ παρὰ τῶν σατραπῶν, καὶ ὡς ἐστόρεσε τὸ
Peloponnese by the satraps and how laid-low the
τούτων φρόνημα ὁ βασιλεύς· πρὸς δὲ τούτοις οἰκοδομάς
of-these pride the emperor besides and these(-things) buildings
τε λαμπρὰς ἐν τῇ πόλει, νεῶν τε καὶ νεωρίων καὶ
both brilliant in the city of-temples both and of-dockyards and
βασιλείων καὶ ἀγορῶν καὶ στοῶν καὶ λουτρῶν, καὶ δὴ
of-palaces and of-markets and of-stoas and of-baths and indeed
τειχισμούς τε καὶ ξυνοικήσεις φρουρίων καὶ πολισμάτων
fortifications both and settlings of-fortresses and of-towns
πάνυ χρησίμων καὶ ἀναγκαίων, τῶν γε κατὰ τὸν
very useful and necessary the(-ones) at-least on the
τοῦ Ἑλλησπόντου καὶ Χερρονήσου πορθμὸν καὶ τὸν τοῦ
— of-Hellespont and of-Chersonese strait and the —

Βοσπόρου, καὶ ἕτερα οὐκ ὀλίγα τοιαῦτα, καὶ δὴ καὶ
of-Bosporus and other not few such(-things) and indeed also
δημηγορίας τῶν πάνυ σπουδαίων τοῦ βασιλέως.
public-speeches of-the very earnest of-the emperor
Χρόνου δὲ πλῆθος ἐν οἷς ταῦτα ἐγένετο ἔτη ἑπτὰ
of-time and length in which these(-things) happened years seven
πρὸς τοῖς δέκα. Ταῦτα δὴ πάντα ξυγγραψάμενός τε
besides the ten these(-things) indeed all having-written-up both
καὶ ἀφηγησάμενος ἐν τῷδε τῷ βιβλίῳ, πέμπω τοῦτο
and having-narrated in this the book I-send this
τῇ βασιλικῇ σου ἐπιστασίᾳ καὶ σοφίᾳ δοκιμασθησόμενόν
to-the royal your oversight and wisdom to-be-tested
τε καὶ κριθησόμενον. Κἂν μέν τι γενναῖον εὑρεθῇ
both and to-be-judged and-if indeed anything noble be-found
παρ᾽ αὐτῇ, τῇ τε ἀληθείᾳ ξυμβαῖνον καὶ τῶν σῶν ἔργων
by it the both truth agreeing-with and of-the your works
ἐφάμιλλον, τῇ τε βασιλικῇ κυρωθείη ψήφῳ, χάριν τε
rivaling by-the both royal may-it-be-ratified vote thanks both
ὁμολογήσομεν τῷ τε θεῷ καὶ σοί, βασιλεῦ, τοιαύτην ὕλην
we-will-acknowledge — both to-God and to-you O-emperor such material
ἡμῖν παρασχόντι ταῖς ἀρίσταις τῶν πράξεων εἰς ἐπίδειξιν
to-us having-provided by-the best of-the deeds for display
τῶν ἡμετέρων λόγων, καὶ ἅμα θαρροῦντες πρὸς ὅλον τὸν
of-the our words and at-once taking-courage for whole the
ἑξῆς ἀγῶνα ἀποδυσόμεθα, καὶ μετὰ χαρᾶς πρὸς τὰ λοιπὰ
next contest we-will-strip and with joy to the rest
τῶν ἔργων χωρήσομεν, ἃ ξὺν θεῷ σοι πεπράξεται,
of-the works we-will-go which with God by-you will-have-been-done
πυθόμενοι δὴ μόνον καὶ πολλὰ τῶν σφόδρα ἀναγκαίων
having-learned indeed only also many of-the very necessary
καὶ ἀγνοουμένων ἡμῖν. Εἰ δὲ φανῶσιν οἱ ἡμέτεροι λόγοι
and unknown to-us if but appear the our words

πολλῷ τῶν σῶν ἔργων ὄντες καταδεέστεροι καὶ πρὸς
by-much than-the your works being falling-short and to
τὸ μέγεθος τούτων οὐκ ἐξικνούμενοι, ὃ πᾶσα παθεῖν
the greatness of-these not reaching which all to-suffer
αὐτοὺς ἀνάγκη, τό τε βιβλίον ὡς ἀχρεῖον ἀποδοκιμασθῇ,
them necessity the and book as useless be-rejected
τηνικαῦτα δὴ καὶ αὐτὸς πόρρωθεν προσκυνήσας καὶ
then indeed also myself from-afar having-bowed and
σιωπὴν ἀσπασάμενος, ἑτέροις παραχωρήσω τῆς ἱστορίας,
silence having-embraced to-others I-will-yield the history
πολλῷ τὰ τοιαῦτα ἐμοῦ βελτίοσιν.
by-much in-the such(-things) than-me better

I · THE FALL OF CONSTANTINOPLE

Mehmed succeeds Murad in 1451, reorders his realm, and walls a fortress on the Bosporus to command the strait. Over the Romans' protests he resolves on war, casts a great cannon, drags his ships overland into the Horn, and after fifty days of siege storms the city on 29 May 1453. Giustiniani is wounded and withdraws, Constantine falls fighting, and the city is sacked; Mehmed weeps over it and begins to resettle it.

Περιέχει ἥδε ἀρχὴν τῆς βασιλείας Μεχέμετι μεγίστου
it-contains this(-book) beginning of-the kingship of-Mehmed greatest
αὐτοκράτορος καὶ πάροδον ἐς αὐτήν, ἔργα καὶ πράξεις
sovereign and accession to it works and deeds
αὐτοῦ, τειχισμον τε τοῦ ἐν Βοσπόρῳ νέου φρουρίου,
his fortification both of-the on Bosporus new fortress
πόλεμόν τε τῆς Κωνσταντίνου πόλεως καὶ ἅλωσιν ταύτης.
war and of-the of-Constantine city and capture of-it
Χρόνου πλῆθος ἔτη [τρία].
of-time length years three

Κριτόβουλος ὁ νησιώτης, τὰ πρῶτα τῶν Ἰμβριωτῶν, τὴν 1.1
Kritoboulos the islander the first of-the Imbriots the
ξυγγραφὴν τήνδε ξυνέγραψε, δικαιώσας μὴ πράγματα
history this wrote having-deemed-right not affairs
οὕτω μεγάλα καὶ θαυμαστὰ ἐφ' ἡμῶν γεγονότα μεῖναι
so great and marvelous in our(-time) having-happened to-remain
ἀνήκουστα, ἀλλὰ ξυγγραψάμενος παραδοῦναι ταῖς μεθ' ἡμᾶς
unheard but having-written-them-up to-hand-down to-the after us
γενεαῖς, ὡς μήτε ἔργα γενναῖά τε καὶ ἀξιαφήγητα καὶ
generations so-that neither works noble both and worth-narrating and
τῶν παλαιῶν λειπόμενα μηδενὸς τῷ χρόνῳ καλυφθέντα
than-the ancient falling-short in-nothing by-the time covered
ἐξ ἀνθρώπων ἀφανισθείη, μήτε οἱ γεγονότες ἐς ὕστερον
from men be-blotted-out nor the(-ones) born in later(-times)
τὰ μέγιστα ζημιωθεῖεν, τοιαύτης ἀμοιρήσαντες ἱστορίας
in-the greatest-things be-harmed such having-had-no-share-in history
τε καὶ μαθήσεως, καὶ οἱ ταῦτα δὲ πράξαντες ἔχωσί
both and learning and the(-ones) these(-things) and having-done may-have
τι μνημεῖον κάλλιστον ἐς τὸν ἔπειτα χρόνον τῆς σφῶν
some memorial fairest for the hereafter time of-the their
αὐτῶν ἀνδρείας καὶ ἀρετῆς ἐκ τῆσδε τῆς ξυγγραφῆς καὶ
own courage and virtue from this the history and
τῆς τῶν ἔργων ἀποδείξεως. Ἐδόκει δέ μοι καὶ διὰ τόδε
the of-the works showing it-seemed and to-me also because-of this
οὐχ ἥκιστα ἀναγκαία εἶναι ἥδε ἡ νῦν ξυγγραφή· τὰ μὲν
not least necessary to-be this the present history the indeed
γὰρ παλαιὰ τῶν ἔργων, πρεσβύτατα ὄντα καὶ μέγιστα,
for ancient of-the works most-aged being and greatest
δυσπαράδεκτά πώς ἐστι καὶ ἐς ἀκοὴν ἔρχεται μόγις, τῷ
hard-to-accept somehow are and to hearing come scarcely by-the
χρόνῳ ὥσπερ γηράσκοντα καὶ διαπιστούμενα, ἢ τῷ γε
time as-if growing-old and disbelieved or by-the at-least

πολλῷ τῆς μνήμης ξυνεθισμῷ καὶ καταφρονεῖται· πᾶν γὰρ
much of-the memory habituation also are-despised all for
τὸ πλεονάζον ἐς κόρον ἥκει, κόρος δὲ ἀηδίαν φέρει· τὰ
the excessive to satiety comes satiety and distaste brings the
δὲ δὴ νῦν, καινά τε ὄντα καὶ προσεχῆ, καὶ ὡς γνώριμα
but indeed present new both being and close and as known
εὐπαράδεκτά τε ἔτι καὶ κατέχεται καὶ ὡς προσεχῆ μᾶλλον
easy-to-accept both still and are-retained and as close more
θαυμάζεται, καὶ τοσούτῳ μᾶλλον ὅσῳ καὶ μᾶλλον
are-marveled-at and by-so-much more by-as-much also more
διαφέροντα ᾖ καὶ τὴν πίστιν ἔχοντα τῷ σαφεῖ καὶ
differing they-be and the credence having by-the clear and
γνωρίμῳ, χαιρόντων τε τῶν ἀνθρώπων, ὡς τὰ πολλὰ,
known delighting both the men as the most
τοῖς καινοτέροις τῶν ἔργων καὶ τούτοις μᾶλλον ἐθελόντων
in-the newer of-the works and these more wishing
ἕπεσθαι. Διὰ ταῦτα δὴ καὶ ἕτερα τοιαῦτα ἀναγκαία
to-follow because-of these(-things) indeed and other such(-reasons) necessary
μοι κατεφάνη εἶναι ἥδε ἡ ξυγγραφή· ἔργα τε γὰρ δὴ
to-me appeared to-be this the history works both for indeed
μεγάλα καὶ θαυμαστὰ ἐν τοῖς νῦν καιροῖς καὶ τάδε
great and marvelous in the present times also these
ἐπράχθη, οἷα τὸ παλαιὸν ἐν Ἕλλησι καὶ βαρβάροις,
were-done such-as the of-old among Hellenes and barbarians
προσέτι δὲ καὶ Ῥωμαίοις, μεγίστην ἀπόδειξιν παρεχόμενα
besides and also Romans greatest proof providing
ἀρετῆς καὶ ἀνδρίας τῶν ἐπιφανεστάτων ἀνδρῶν, ἀρχή
of-virtue and of-courage of-the most-illustrious men empire
τε κατελύθη μεγίστη δὴ καὶ πρεσβυτάτη ὧν
both was-destroyed greatest indeed and most-ancient of-those-which
ἴσμεν, οὐκ ἐν πολλῷ χρόνῳ καταπολεμηθεῖσα, ἡ τῶν
we-know not in much time warred-down the of-the

Ῥωμαίων, κίνησίς τε μεγίστη δὴ πάντων γέγονεν αὕτη,
Romans upheaval both greatest indeed of-all has-become this
καὶ μεταβολὴ πραγμάτων οὐ τῶν τυχόντων. Γράψω δὴ
and change of-affairs not of-the ordinary I-will-write indeed
[τὰ] καθέκαστα ὡς ἐγένετο ἀκριβῶς, τούς τε λόγους
the particulars as they-happened exactly the both speeches
ξυναρμόζων τοῖς ἔργοις, τά τε ἔργα μηδαμοῦ τῶν
fitting to-the works the both works nowhere from-the
καιρῶν ἀποδιστὰς, ἔν τε τοῖς προσώποις καὶ τοῖς καιροῖς
times separating in both the persons and the times
τὴν γιγνομένην τάξιν μετὰ τοῦ προσήκοντος σώζων καὶ
the occurring order with the fitting preserving and
διὰ πάντων τἀληθοῦς πλεῖστον λόγον ποιούμενος.
through all of-the-truth most account making
Τὰ μὲν οὖν πρὸ ἡμῶν καὶ ὅσα ἐς τοὺς ἄνω 2.1
the(-things) indeed then before us and as-many-as to the upper
χρόνους ἥκει τοῦδε τοῦ γένους, ἢ ὅσα οἱ ἐξ
times reach of-this the race or as-many-as the(-ones) from
ἐκείνων μέχρις ἡμῶν διαδοχῇ προσεχεῖ καταγόμενοι
those until us by-succession continuous descended
βασιλεῖς αὐτῶν κατὰ καιροὺς ἔπραξαν ἔργα γενναῖα
emperors of-them at times did works noble
καὶ θαυμαστὰ, καὶ πολέμους οὓς ἐπολέμησαν, καὶ νίκας
and marvelous and wars which they-warred and victories
ἃς ἐπεξῆλθον, δι' ὧν τὴν τῶν Ῥωμαίων μεγάλην
which they-achieved through which the of-the Romans great
ἀρχὴν τοῦ χρόνου προϊόντος κατὰ μικρὸν ἐταπείνωσάν
empire of-the time advancing by little they-humbled
τε καὶ ἐς τόδε κατήγαγον, ἕως ἐχειρώσαντο πᾶσαν καὶ
both and to this(-state) brought-down until they-subdued all and
καθεῖλον τελείως, τὰ δὴ τοιαῦτα πολλοῖς τε εἴρηται
destroyed completely the indeed such(-things) by-many both have-been-told

πρὸ ἡμῶν, καὶ ἡμῖν ἐς τὸ παρὸν οὐ σκοπὸς περὶ τούτων
before us and to-us for the present not aim about these
διεξιέναι, οὐδὲ τῆς παρούσης ὕλη νῦν ξυγγραφῆς· ἀλλὰ
to-go-through nor of-the present material now history but
ταῦτα μὲν ἐς ὕστερον, θεοῦ διδόντος, ἐν ἄλλοις βιβλίοις
these(-things) indeed for later God granting in other books
ξυντάξομεν, ἰδίαν ξυστησάμενοι πραγματείαν, ἀκριβῶς
we-will-compose own having-organized treatise exactly
ἐπιμνησθέντες τῶν τε καιρῶν τῶν τε πραγμάτων τῶν τε
having-made-mention of-the both times of-the both affairs of-the both
καλῶς ἐπεξειργασμένων αὐτά. Εἰ γὰρ πολλοὶ περὶ τούτων
well having-worked-out them if for many about these
εἰρήκασι, ἀλλὰ οὐ κατὰ τάξιν οὐδὲ καλῶς τε καὶ
have-spoken yet not according-to order nor well both and
ὡς ἔδει τὴν ἱστορίαν ξυνέθεντο, ἀλλ' ὡς ἂν ἐπῆλθεν
as was-needed the history composed but as — occurred
αὐτοῖς ἢ κατὰ τὸ δοκοῦν τῆς γνώμης ἢ τὸ ξυμβαῖνον
to-them or according-to the seeming of-the judgment or the occurring
τῆς μνήμης ἢ τῆς τῶν πραγμάτων πείρας εἶχον, τῆς δ'
of-the memory or of-the of-the affairs experience they-had of-the but
ἀκριβείας ὀλίγον ἐφρόντισαν. Οὔκουν περὶ τούτων ὁ λόγος
exactness little they-cared not-then about these the account
ἡμῖν νῦν, ἀλλ' ὅπως τὰ τοῦ νῦν μεγάλου βασιλέως ἔργα
to-us now but how the of-the present great emperor works
Μεχεμέτεω, μέγιστά τε ὄντα καὶ μηδεμίαν ὑπερβολὴν
of-Mehmed greatest both being and no surpassing
τοῖς πρὸ αὐτῶν καταλείποντα, ἰδίᾳ ξυγγραφῇ τε καὶ
to-the(-ones) before them leaving in-own history both and
ἀφηγήσει τοῖς μεθ' ἡμᾶς παραδῶμεν, μίμημά τε καὶ
narration to-the(-ones) after us we-may-hand-down imitation both and
σπούδασμα κάλλιστον τοῖς αἱρουμένοις τε καὶ ψυχῆς
pursuit fairest to-the(-ones) choosing both and of-soul

ἀνδρίαν ὑποφαίνουσι προθέντες αὐτά. Τοσοῦτον γὰρ οὗτος
courage showing having-set-before them so-much for this-man
οὐ μόνον τῶν ἄλλων τοὺς πρὸ αὐτοῦ, ἀλλὰ δὴ καὶ
not only of-the others the(-ones) before him but indeed also
τοὺς ἐκ γένους αὐτῷ βασιλεῖς κατά τε ἀρετήν (τε) καὶ
the of race to-him emperors in both virtue both and
ἀνδρίαν καὶ στρατηγίαν καὶ τύχην καὶ τὴν τῶν πολεμικῶν
courage and generalship and fortune and the of-the warlike
ἐμπειρίαν ὑπερεβάλλετο, ὅσον ἐκεῖναι τοὺς πρὸ αὐτῶν
experience surpassed as-much-as those(-deeds) the(-ones) before them
τε καὶ κατ᾽ αὐτοὺς γενομένους τούτοις ἀπέκρυψαν.
both and in their(-time) having-been by-these bid
Παραιτοῦμαι δὲ τούς τε νῦν τούς τε χρόνῳ ὕστερόν 3.1
I-beg and the(-ones) both now the(-ones) both in-time later
ποτε ξυνεσομένους τῇδε τῇ ξυγγραφῇ μηδεμίαν ἀβελτηρίαν
ever going-to-be-with this the history no stupidity
ἢ κακοήθειαν καταγνῶναι ἡμῶν, εἰ μήτε ξυναλγοῦντες
or malice to-condemn in-us if neither grieving-with
ταῖς ἡμετέραις κακοπραγίαις μήτε δὴ ταῖς τοῦ γένους
the our misfortunes nor indeed by-the of-the race
βαρούμενοι ξυμφοραῖς, προῃρήμεθα ἀναγράφειν τε καὶ
weighed-down calamities we-have-chosen to-record both and
φανερῶς ἐκπομπεύειν καὶ διασύρειν τὰ οἰκεῖα κακά,
openly to-parade and to-disparage the own evils
δέον ξυγκαλύπτειν μᾶλλον ἐς δύναμιν καὶ μηδαμοῦ
it-being-needed to-cover-up rather to power and nowhere
τοῖς πολλοῖς ἔκφορα καθιστᾶν. Πρῶτον μὲν γὰρ οὐχ ὥστε
to-the many published to-make first indeed for not so-as
μέμψιν τινὰ περιάψαι τῷ γένει οὐδ᾽ ἐπὶ τῷ κακῶς εἰπεῖν
blame some to-fasten on-the race nor for the badly to-speak
τε καὶ διασῦραι τὰ ἡμέτερα ἐς τόδε προήχθημεν· πόρρω
both and to-disparage the our(-affairs) to this we-were-led far

γὰρ τοῦτο καὶ τῆς παρούσης πραγματείας καὶ τοῦ
for this both from-the present treatise and from-the
προκειμένου σκοποῦ, ἀλλὰ δὴ καὶ τοῦ ἤθους ἡμῶν·
proposed aim but indeed also from-the character our
οὐχ οὕτω γὰρ ἡμεῖς ἀνάλγητοι καὶ πικροὶ τὴν γνώμην,
not so for we unfeeling and bitter in-the judgment
ὥστε πρὸς τοῖς οὖσι κακοῖς ἀντὶ τοῦ ξυναλγεῖν μᾶλλον
so-as besides the existing evils instead-of the to-grieve-with rather
καὶ κατηγορίαν προστρίβειν ἐθέλειν καὶ περιάπτειν τῷ
also accusation to-rub-on to-wish and to-fasten on-the
γένει· ἔπειτα οὐδ' οὕτως εὐήθεις ἢ διακρίσεως ἄμοιροι καὶ
race next nor so simple or of-discernment devoid and
τῶν ἀνθρωπίνων πραγμάτων ὅλως ἐκτὸς, ὡς μήτε τὰς
of-the human affairs wholly outside as neither the
τούτων εἰδέναι τύχας τε καὶ μεταβολὰς, μήτε τὸ ἄστατον
of-these to-know fortunes both and changes nor the instability
καὶ ἀβέβαιον καὶ ἀνώμαλον, ἀλλ' ἐν τοσαύτῃ ξυγχύσει
and uncertainty and unevenness but in so-great confusion
καὶ ἀταξίᾳ πραγμάτων καὶ τοῖς κοινοῖς τῆς φύσεως
and disorder of-affairs and in-the common of-the nature
ἀρρωστήμασι παρὰ μόνου τοῦ ἡμετέρου γένους ζητεῖν τὸ
infirmities from only the our race to-seek the
ὑγιές τε καὶ στάσιμον καὶ ὅλως ἀκίνητον, ὡς ἂν ἔξω
sound both and stable and wholly unmoved as — outside
τούτων παντάπασιν ὄντος ἢ κρείττονός τινος φύσεως καὶ
these altogether being or of-better some nature and
μηδαμοῦ δυναμένου ξυμφέρεσθαί τε καὶ ξυμμεταβάλλειν
nowhere being-able to-be-carried-along both and to-change-with
τοῖς ἄλλοις. Τίς γὰρ οὐκ οἶδεν ὡς ἐξ ὅτου γεγόνασιν
with-the others who for not knows that from when have-come-to-be
ἄνθρωποι, τὰ τῆς βασιλείας καὶ τῆς ἀρχῆς οὐδ'
men the(-things) of-the kingship and of-the rule not-even

ὅλως ἔμεινεν ἐπὶ τῶν αὐτῶν, οὐδ' ἑνὶ γένει τε καὶ ἔθνει
wholly remained with the same nor in-one race both and nation
περιεκλείσθη, ἀλλ' ὡς πλανώμενά τε ἀεὶ καὶ ἐξ ἐθνῶν
was-enclosed but as wandering both always and from nations
ἔθνη καὶ τόπους ἐκ τόπων ἀμείβοντα πανταχοῦ μεταβέβηκέ
nations and places from places exchanging everywhere have-crossed
τε καὶ περιέστη, νῦν μὲν ἐς Ἀσσυρίους καὶ Μήδους καὶ
both and gone-round now indeed to Assyrians and Medes and
Πέρσας, νῦν δὲ ἐς Ἕλληνας καὶ Ῥωμαίους, κατὰ καιρούς
Persians now and to Hellenes and Romans by times
τε καὶ περιόδους ἐνιαυτῶν ἐπιχωριάσαντά τε καὶ οὐδέποτε
both and cycles of-years having-dwelt both and never
ἐπὶ τῶν αὐτῶν βεβηκότα. Οὐδὲν τοίνυν θαυμαστὸν καὶ νῦν
on the same having-stood nothing therefore marvelous also now
τὰ ἑαυτῶν δρᾶσαί τε καὶ παθεῖν, καὶ Ῥωμαίους
the(-things) of-themselves to-have-done both and to-have-suffered and Romans
μὲν τὴν ἀρχὴν καὶ τὴν τύχην ἀπολιπεῖν, πρὸς ἑτέρους
indeed the rule and the fortune to-have-left to others
δὲ διαβῆναί τε καὶ μεταχωρῆσαι, ὥσπερ ἐξ ἄλλων ἐς
and to-have-crossed both and to-have-moved as from others to
τούτους, πανταχοῦ τὴν ἰδίαν φύσιν τε καὶ τάξιν τηροῦντα.
these everywhere the own nature both and order keeping
Πῶς οὖν ἔνεστιν ἡμῖν δικαίως τοῦ γένους κατηγορεῖν,
how then is-it-possible for-us justly the race to-accuse
ὡς μὴ δυνηθέντος διὰ τέλους κατασχεῖν τὴν εὐδαιμονίαν
as not having-been-able to the-end to-hold-fast the prosperity
καὶ τηρῆσαι τὴν ἀρχὴν καὶ τὴν τύχην ἀπαρασάλευτον; Εἰ
and to-keep the rule and the fortune unshaken if
δέ τινες ἐν καιροῖς ἰδίοις τῶν πραγμάτων ἐπιστατοῦντες,
but some in times own of-the affairs presiding
μοχθηρίᾳ φύσεως κακοὶ γεγόνασι περὶ τὴν ἀρχὴν, καὶ
by-wickedness of-nature bad have-become about the rule and

τοῖς πράγμασιν οὐκ ἐς δέον ἐχρήσαντο, οὐκ ἔστι τοῦτο
the affairs not as was-needed used not is this
τοῦ γένους ἁμάρτημα, ἀλλὰ τῶν κακῶς τε καὶ ὡς
of-the race fault but of-the(-ones) badly both and as
οὐκ ἔδει χρησαμένων τοῖς πράγμασιν· οὓς καὶ δίκαιον
not was-needed having-used the affairs whom also just
μόνους εὐθύνειν, ἀλλὰ μὴ τοῦ γένους κατηγορεῖν, ὥσπερ
alone to-call-to-account but not the race to-accuse just
δὴ καὶ τοὺς ἀγαθοὺς ἐπαινεῖν καὶ τὰ τούτων ἔργα ἐκ
indeed also the good to-praise and the of-these works by
παντὸς τρόπου θαυμάζειν τε καὶ κοσμεῖν, καὶ μὴ διὰ τὴν
every way to-marvel-at both and to-adorn and not because-of the
ἐνίων ῥᾳθυμίαν τε καὶ κακίαν ἀποστερεῖν ἐθέλειν τούτους
of-some slackness both and wickedness to-deprive to-wish them
τῶν ἐπαίνων καὶ τῶν ἄθλων τῆς ἀρετῆς· ἀλλ᾽ οὐ δίκαιον.
of-the praises and of-the prizes of-the virtue but not just
Τοῦτο τοίνυν καὶ Ἰώσηπος ὁ Ἑβραῖος εἰδὼς, φιλαλήθης
this therefore also Josephus the Hebrew knowing truth-loving
ὢν καὶ τοῖς πράγμασι καλῶς ἐφιστῶν, ἐπαινεῖ μὲν ἐν
being and to-the affairs well attending praises indeed in
τῷ τῆς ἁλώσεως βιβλίῳ τὴν Ῥωμαίων τύχην καὶ ἀρετὴν
the of-the capture book the of-Romans fortune and virtue
καὶ τῷ λόγῳ φιλαλήθως ἐπαιρεῖ, καθάπτεται δὲ τῶν ἐν
and by-the account truthfully exalts attacks but the in
τῷ γένει φανέντων κακῶν, τούς τε μηδὲν ἠδικηκότας
the race having-appeared evils the and nothing having-done-wrong
τῶν ὀνειδῶν ἀπαλλάττει· ὃ δὴ καὶ ἡμεῖς ἐξ ἅπαντος
from-the reproaches releases which indeed also we by every
τρόπου ποιήσομεν, μηδὲν ὑποστειλάμενοι τὸ παράπαν,
way we-will-do nothing having-held-back at all

ἀλλ᾽ ἐν πᾶσι τό τε προσῆκον καὶ τὴν ἀλήθειαν σώζοντες.
but in all the both fitting and the truth preserving
Καὶ τούτων μὲν ἅλις, τῶν δὲ προκειμένων ἐχώμεθα.
and of-these indeed enough of-the but proposed(-things) let-us-hold
Ἔτος μὲν οὖν ἐνειστήκει τῶν ἀπ᾽ ἀρχῆς ἔννατον καὶ 4.1
year indeed then had-begun of-the(-years) from beginning ninth and
πεντηκοστὸν πρὸς τοῖς ἐννακοσίοις τε καὶ ἑξακισχιλίοις, καὶ
fiftieth besides the nine-hundred both and six-thousand and
τελευτᾷ τὸν βίον Μωράτης ὁ βασιλεὺς, ζήσας τὰ πάντα
ends the life Murad the emperor having-lived the all
δύο καὶ πεντήκοντα ἔτη, ἄρξας δὲ ἓν καὶ τριάκοντα,
two and fifty years having-ruled and one and thirty
ἀνὴρ ἄριστος ἐν πᾶσι καὶ μεγαλόφρων, ἀλλὰ δὴ καὶ
man best in all and great-minded but indeed also
στρατηγικώτατος καὶ πολλὰ παρὰ τὸν βίον ἐπιδεξάμενος
most-skilled-in-generalship and many in the life having-undertaken
ἔργα γενναῖα καὶ θαυμαστὰ, ὥσπερ δὴ μαρτυροῦσιν αἱ
works noble and marvelous as indeed bear-witness the
πράξεις αὐταὶ, τοῦ λαμπροτάτου γένους ὢν Ἀτουμάνων,
deeds themselves of-the most-brilliant race being of-Ottomans
ἕκτος αὐτὸς, εὐγενὴς ἐξ εὐγενῶν. Οὗτοι δὲ τοῦ παλαιτάτου
sixth he noble from nobles these and of-the most-ancient
γένους εἰσὶν Ἀχαιμενιδῶν τε καὶ Περσειδῶν, ἀφ᾽ ὧν δὴ
race are of-Achaemenids both and of-Perseids from which indeed
γενῶν οἱ τῶν Περσῶν βασιλεῖς πάντες κατήγοντο· ἦσαν
races the of-the Persians kings all descended there-were
μὲν γὰρ δὴ καὶ ἄλλα γένη Περσῶν, ὡς Ἡρόδοτος
indeed for indeed also other races of-Persians as Herodotus
(1, 126) ἱστορεῖ, ἀλλὰ δημοτικὰ καὶ κοινά, ταῦτα δὲ
1 126 relates but common and ordinary these but
μόνα ἐξαίρετα ἦσαν τῶν βασιλέων, τὸ ἀνέκαθεν ἀπὸ
alone select were of-the kings from-the beginning from

Ἀχαιμένου καὶ Περσέως ἔχοντα τὴν ἀρχήν· οὗτοι δ' ἦσαν
Achaemenes and Perseus having the origin these and were
Ἕλληνες ἀπὸ Δαναοῦ καταγόμενοι καὶ Λυγκέως, οἵτινες
Hellenes from Danaus descended and Lynkeus who
Αἰγύπτιοι ὄντες τὸ ἐξαρχῆς ἐκ πόλεως Χέμμιος τῆς ἐν
Egyptians being at-the start from city Chemmis the(-one) in
τῷ ἕλει κειμένης ἐς τὴν Ἑλλάδα μετῳκίσθησαν· χρόνοις δὲ
the marsh lying to — Hellas migrated in-times and
ὕστερον οἱ τούτων ἀπόγονοι (Ἀχαιμενίδαι τε καὶ Περσεῖδαι)
later the of-these descendants Achaemenids both and Perseids
κατὰ ξυμφορὰς διαβάντες ἐς τὴν Ἀσίαν, ἐν Περσίδι τὴν
through misfortunes having-crossed to — Asia in Persis the
ἀρχὴν κατεστήσαντο, καὶ τελευτήσαντες οὗτοι κατέλιπον
rule established and having-died these left
τό τε γένος καὶ τὴν ἐπωνυμίαν τῷ τόπῳ. Τελευτήσαντος
the both race and the name to-the place having-died
δ', ἥπερ ἔφην, Μωράτεω, παραλαμβάνει τὴν βασιλείαν
and as I-said Murad takes-over the kingship
Μεχεμέτης ὁ τούτου υἱὸς, ἕβδομος αὐτὸς, εἰκοστὸν ἔτος
Mehmed the his son seventh he twentieth year
ἄγων ἤδη τῆς ἡλικίας, μετάπεμπτος ἐξ Ἀσίας γεγονώς·
leading already of-the age summoned from Asia having-become
ἐκεῖ γὰρ εἶχε τὴν ἀρχὴν, δόντος αὐτῷ τοῦ πατρός.
there for he-had the rule having-given to-him the father
Πολλὰ δ' εὐθὺς τότε καὶ παρὰ τὸ εἰωθὸς ὑπεσήμηνε τὸ
many and at-once then also against the custom signified the
θεῖον ἀήθη τέ τινα καὶ τερατώδη, ὥσπερ δὴ κἂν
divine unaccustomed both some and portentous as indeed both-in
τῇ τούτου γεννήσει, οὕτω δὴ κἂν τῇ εἰς τὴν βασιλείαν
the his birth so indeed also-in the into the kingship
παρόδῳ· σεισμοί τε γὰρ ἀήθεις καὶ ξένοι γεγόνασι, καὶ
accession earthquakes both for unaccustomed and strange have-happened and

βρασμοὶ γῆς καὶ τὰ ἐξ οὐρανοῦ, βρονταί τε καὶ
heavings of-earth and the(-things) from heaven thunders both and
ἀστραπαὶ καὶ σκηπτοὶ καὶ πρηστῆρες φρικώδεις καὶ σέλας
lightnings and thunderbolts and whirlwinds dreadful and blaze
ὁρώμενον καὶ οἷα πολλὰ πολλάκις προφοιβάζειν φιλεῖ
seen and such-as many often to-foretell is-wont
τὸ θεῖον ἐπὶ ταῖς μεγίσταις τῶν καθεστώτων καινοτομίαις
the divine at the greatest of-the established innovations
τε καὶ μεταβολαῖς· οἵ τε μάντεις τε καὶ θεοφορούμενοι
both and changes the and seers both and god-possessed
καὶ δὴ καὶ χρησμολόγοι καὶ θεοπρόποι πολλὰ ἐπεθείαζόν
and indeed also oracle-mongers and prophets many prophesied
τε καὶ εἶδον ἐπί (τε) τοῖς μέλλουσι γίνεσθαι καὶ
both and saw for both the(-things) about to-happen and
ἅμα παραδηλοῦντα τὴν τοῦ νέου βασιλέως ἐσομένην
at-once indicating the of-the new emperor going-to-be
περὶ πάντα τύχην καὶ ἀρετὴν, καὶ ὡς μέγιστον ἐν πᾶσιν
in all fortune and virtue and how greatest in all
ἔσται τὸ κράτος αὐτῷ, καὶ πάντας ὑπερβαλεῖται τοὺς
will-be the power for-him and all he-will-surpass the
πρὸ αὐτοῦ βασιλέας πολλῷ τινι καὶ ἀπείρῳ τῷ μέσῳ
before him emperors by-much some and boundless the interval
ἐπί τε δόξῃ καὶ πλούτῳ καὶ δυναστείᾳ καὶ κατορθώμασι.
in both glory and wealth and power and successes
Καταστὰς δὲ κληρονόμος μεγάλης ἀρχῆς καὶ πολλῶν 5.1
having-been-established and heir of-great rule and of-much
μὲν χρημάτων, πολλῶν δὲ ὅπλων, πολλῶν δὲ στρατιωτῶν
indeed money of-many and arms of-many and soldiers
τε καὶ καταλόγων γενόμενος κύριος, καὶ τί γὰρ [ἄλλο]
both and of-registers having-become lord and what for else
ἢ τὰ πλεῖστα καὶ κράτιστα τῆς Ἀσίας τε καὶ Εὐρώπης
than the most and strongest — of-Asia both and of-Europe

ἔχων ὑφ᾽ ἑαυτὸν, οὐκ ἀποχρῆν ἐνόμισεν αὐτῷ ταῦτα,
having under himself not to-suffice he-thought for-him these(-things)
οὐδὲ τοῖς παροῦσιν ἠγάπησεν, ἀλλ᾽ εὐθὺς πᾶσαν ἐπέτρεχε
nor with-the present was-content but at-once all he-overran
τὴν οἰκουμένην τῷ λογισμῷ, καὶ τὴν ταύτης ἀρχὴν
the inhabited-world with-the reckoning and the of-it rule
εἶχεν ἐν νῷ, καὶ πρὸς Ἀλέξανδρον ἑώρα καὶ Πομπηίους
had in mind and to Alexander looked and Pompeys
καὶ Καίσαρας καὶ τοὺς κατ᾽ ἐκείνους βασιλεῖς τε καὶ
and Caesars and the in their(-time) kings both and
στρατηγούς. Εἶχε μὲν γὰρ καὶ τὴν φύσιν ξυνεργοῦσαν
generals he-had indeed for also the nature cooperating
καλῶς, τό τε δραστήριον αὐτῆς καὶ ὀξὺ περὶ πάντα, καὶ
well the both energy of-it and keenness about all and
τὸ τῆς ψυχῆς ἄγαν ἀρχικὸν καὶ βασιλικόν· μάλιστα δὲ
the of-the soul exceedingly ruling and kingly most and
πρὸς τοῦτο ἐνῆγον αὐτὸν ἥ τε σοφία καὶ τὸ πάντα τὰ
toward this urged him the both wisdom and the all the(-things)
τῶν παλαιῶν εἰδέναι καλῶς· ἤσκητο γὰρ ἐς ἄκρον πᾶσαν
of-the ancients to-know well he-had-trained for to the-height all
τὴν Ἀράβων καὶ Περσῶν καὶ ὅση τῶν Ἑλλήνων ἐς τὴν
the of-Arabs and of-Persians and as-much-as of-the Hellenes into the
Ἀράβων τε καὶ Περσῶν γλῶσσαν μεθηρμηνεύθη, λέγω δὴ
of-Arabs both and of-Persians tongue was-translated I-mean indeed
τῶν ἀπὸ τοῦ Περιπάτου καὶ τῆς Στοᾶς, παιδευταῖς
of-the(-ones) from the Peripatos and the Stoa teachers
χρησάμενος Ἀράβων τε καὶ Περσῶν τοῖς σπουδαιοτάτοις
having-used of-Arabs both and of-Persians the most-earnest
τε καὶ σοφοῖς τὰ τοιαῦτα. Οὕτω δὲ γνώμης ἔχων καὶ
both and wise in-the such(-things) thus and of-mind being and
τοιούτοις χρώμενος λογισμοῖς, οὐδεμίαν ἀναβολὴν ἔτι
such using reckonings no delay any-longer

δίδωσι τῷ τε καιρῷ καὶ τοῖς πράγμασιν, ἀλλ' εὐθὺς ὅλος
gives to-the both occasion and to-the affairs but at-once wholly
γίνεται τούτων. Καὶ πρῶτα μὲν σπένδεται Ῥωμαίοις καὶ
becomes of-these and first indeed makes-truce with-Romans and
βασιλεῖ Κωνσταντίνῳ· μετὰ δὲ τοῦτο καὶ Καραμάνῳ τῷ
emperor Constantine after and this also with-Karaman the
τῆς ἄνω Φρυγίας τε καὶ Κιλικίας ἐπάρχοντι, ἔς γε τὸ
of-the upper Phrygia both and Cilicia governing for at-least the
παρὸν λυσιτελεῖν τοῦτο τοῖς αὐτοῦ πράγμασιν ἡγησάμενος.
present to-profit this the his affairs having-judged
Ἔπειτα ἐς ἐξέτασιν καθίσταται τῆς ὅλης ἀρχῆς, τάς τε
next into review sets-himself of-the whole rule the both
τῶν ὑπ' αὐτῷ γενῶν σατραπείας φιλονεικῶν, καὶ τοὺς
of-the under him races satrapies contending and the(-ones)
μὲν ἐκβάλλων, τοὺς δὲ ἀντεισάγων τῶν σατραπῶν,
indeed casting-out the(-ones) and bringing-in-instead of-the satraps
ὅσοι τούτῳ ἐδόκουν στρατηγίᾳ τε καὶ ξυνέσει
as-many-as to-him seemed in-generalship both and understanding
διαφέρειν τῶν ἄλλων καὶ μὴν καὶ δικαιοσύνῃ· ἐμέλησε
to-surpass the others and indeed also in-justice it-concerned
γὰρ καὶ τούτου πρὸ τῶν ἄλλων αὐτῷ, τοῦ ὡς ἄριστα καὶ
for also this before the others him the as best and
δικαιότατα τὴν ὑφ' αὐτῷ πᾶσαν ἀρχὴν διοικεῖσθαι. Ἔτι
most-justly the under him all rule to-be-administered further
δὲ τοὺς καταλόγους καὶ τὰς τάξεις τῶν στρατευμάτων
and the registers and the ranks of-the armies
ἐξήτασε, τό τε ἱππικὸν ἅμα καὶ ὁπλιτικὸν τούς τε ἐκ
he-examined the both cavalry at-once and infantry the both from
τοῦ βασιλικοῦ ταμιείου τρεφομένους· καὶ μάλιστα δὴ
the royal treasury maintained and most indeed
τὴν βασίλειον αὐλὴν διὰ φροντίδος ἐποιεῖτο πολλῆς καὶ
the royal court through care he-made much and

ἐς ἐπίδοσιν ἦγε· λέγω δὴ τοὺς νεοδαμώδεις τούτους καὶ
to increase led I-mean indeed the newly-enrolled these and
πεζαιτέρους καὶ τὸ περὶ αὐτὸν ἄγημα, οὓς τῇ σφῶν
foot-soldiers and the about him guard whom in-the their
γλώττῃ γενητζάρους καλεῖν εἰώθασι, νέον ξύνταγμα τῆς
tongue janissaries to-call are-accustomed new corps the
φωνῆς σημαινούσης, εἰδὼς ταύτῃ τὸ κράτος προσὸν αὐτῷ
word signifying knowing in-this the power being-present to-him
καὶ τῇ τοῦ σώματος φυλακῇ καὶ τῇ τῆς ὅλης ἀρχῆς.
both in-the of-the body guard and in-the of-the whole rule
Πρὸς δὲ τούτοις ὅπλων τε καὶ βελῶν καὶ τῶν ἐς
besides and these of-arms both and of-missiles and of-the(-things) for
τὴν τοῦ πολέμου χρείαν τε καὶ παρασκευὴν ἀναγκαίων
the of-the war need both and preparation necessary
τε καὶ χρησίμων ξυλλογὴν ἐποιεῖτο. Μετὰ δὲ ταῦτα
both and useful collection he-made after and these(-things)
τοὺς θησαυροὺς ἀνηρεύνα τοὺς πατρικοὺς, ἀνακρίνων ὅτι
the treasuries he-searched the paternal questioning as
μάλιστα τοὺς τούτων ταμίας, τούς τε τῶν ἐτησίων
most the of-these stewards the both of-the yearly
φόρων ἄρχοντας ἀκριβῶς ἐξήταζε, καὶ ἐς ἀνάγκην
tributes officials exactly he-examined and into necessity
ἦγε λογοθεσιῶν. Καὶ πολλὰ δὴ τῶν δημοσίων τε
brought of-accountings and many indeed of-the public both
καὶ βασιλικῶν χρημάτων εὗρε κακῶς δαπανώμενα καὶ
and royal moneys he-found badly being-spent and
ἐς οὐδὲν ἀναλισκόμενα δέον, τριτημόριόν που μάλιστα
on nothing being-used-up needful a-third-part about most
τῶν ἐπετείων φόρων, ἃ καὶ τῷ βασιλικῷ ταμιείῳ
of-the yearly tributes which also to-the royal treasury
ἐπανεσώσατο, ἔς τε τὸ ἑξῆς καλῶς διετήρησε τὴν τούτων
he-recovered for both the next well he-maintained the of-these

φυλακὴν, τούς τε ἐτησίους φόρους ἐς μεγίστην ἐπίδοσιν
guarding the both yearly tributes to greatest increase
ἤγαγε, πολλούς τε τῶν φορολόγων ἀρχόντων σωφρονίσας
he-led many both of-the tribute-collecting officials having-chastened
τῷ φόβῳ, καὶ πιστοὺς καὶ φρονίμους ἀντικαταστήσας
with-the fear and trustworthy and prudent having-appointed-instead
αὐτῶν ἐς τὴν τούτων ξυλλογήν τε καὶ φυλακήν· ὁ
of-them for the of-these collection both and guarding the
γάρ τοι πατὴρ αὐτοῦ ἁπλοώτερόν πως τοῖς πράγμασι
for surely father his more-simply somehow to-the affairs
προσεφέρετο, καὶ τῶν τοιούτων βραχὺν ἐποίει λόγον.
conducted-himself and of-the such(-things) small made account
Διατιθεμένῳ δὲ ταῦθ' οὕτως τῷ βασιλεῖ καὶ τὰ
arranging and these(-things) thus to-the emperor and the(-affairs)
κατὰ τὴν ἀρχὴν ἄριστα καὶ κάλλιστα διοικοῦντι καὶ πρὸς
in the rule best and finest administering and for
μειζόνων ἔργων παρασκευὴν ἑτοιμάζοντι ἐξήκει τὸ
greater works preparation making-ready comes-to-its-end the
πεντηκοστὸν καὶ ἔννατον ἔτος πρὸς τοῖς ἐννακοσίοις καὶ
fiftieth and ninth year besides the nine-hundred and
ἑξακισχιλίοις τοῖς ὅλοις, πρῶτον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.
six-thousand in-the total first and of-the rule for-the emperor
Ὁ δ' εὐθὺς ὅλος γίνεται τοῦ προκειμένου σκοποῦ. Ὁ δὲ 6.1
he and at-once wholly becomes of-the proposed aim which and
ἦν· φρούριον ἐρυμνὸν ἔγνω τειχίσαι ἐν τῷ Βοσπόρῳ ἀπὸ
was fortress strong he-resolved to-wall in — Bosporus on
τοῦ τῆς Εὐρώπης μέρους καταντικρὺ τοῦ πέραν φρουρίου
the — of-Europe side opposite the across fortress
τῆς Ἀσίας, ταύτῃ ᾗ στενότατόν τε καὶ ῥοωδέστατον, καὶ
— of-Asia there where narrowest both and most-rushing and
διαλαβεῖν τὸν πορθμὸν, καὶ ξυνάψαι τὰς ἠπείρους ἀμφοτέρας
to-cut-off the strait and to-join the continents both

Ἀσίαν τε καὶ Εὐρώπην, καὶ ἐφ᾽ αὐτῷ ποιήσασθαι τὴν
Asia both and Europe and in his(-power) to-make the
τούτων διάβασιν, ὅταν αὐτῷ βουλομένῳ ᾖ, καὶ μὴ ἐπ᾽
of-these crossing whenever for-him wishing it-be and not in
ἄλλοις εἶναι διαβῆναί τε καὶ μή, μηδὲ δισταμένων ἄρχειν
others to-be to-cross both and not nor being-divided to-rule
αὐτῶν. Ἤδει γὰρ καλῶς ὅσα καὶ οἷα πράγματα τὸ
them he-knew for well how-many and what-sort troubles the
τοιοῦτον παρέσχεν αὐτοῖς ἐν τῷ προτοῦ χρόνῳ ἐπί
such(-place) caused them in the former time in-the-time-of
τε τῶν πάππων καὶ τοῦ πατρὸς, καὶ ὅσην ἐναντίωσιν
both the grandfathers and the father and how-much opposition
ἤνεγκε τοῦτο τοῖς σφῶν πράγμασι, καὶ ὡς ὀλίγου ἐδέησε
brought this to-the their affairs and how by-little it-fell-short
πολλάκις τὴν ἑτέραν αὐτοὺς τῶν ἠπείρων ἀποβαλεῖν,
often the one them of-the continents to-lose
τοῦτο μὲν τοῦ βασιλέως τῶν Ῥωμαίων ἐν ἐπικαίρῳ τῆς
this indeed the emperor of-the Romans in the-vantage of-the
πόλεως καθημένου καὶ ἐφεδρεύοντος ἀεὶ τοῖς καιροῖς
city sitting and lying-in-wait always for-the occasions
τε καὶ πράγμασι, τά τε πολλὰ θαλασσοκρατοῦντος καὶ
both and affairs the and most ruling-the-sea and
ἐπεξάγοντος αὐτοῖς ἔστιν ὅτε τοῦ σφῶν γένους ὃν
sending-out against-them it-is when of-the their race whomever
ἂν ἐθέλῃ, καὶ βλάπτοντος, τοῦτο δὲ καὶ τῶν Ἰταλῶν
— he-wishes and harming this and also the Italians
καὶ μάλιστα δὴ τῶν Ἐνετῶν ἐν ταῖς μεταξὺ σφῶν
and most indeed the Venetians in the between them
διαφοραῖς τριήρεσιν ἐπιπλεόντων μακραῖς πολλάκις τόν τε
quarrels with-triremes sailing-against long often — both
Βόσπορον καὶ Ἑλλήσποντον, καὶ κωλυόντων τὴν τούτων
Bosporus and Hellespont and hindering the of-these

διάβασιν. Οὐ ταῦτα δὲ μόνον ἐνῆγεν αὐτὸν, ἀλλ᾽ ὅτι καὶ
crossing not these(-things) and only urged him but that also
πρὸς τὸν προκείμενόν οἱ σκοπὸν καλῶς ἔχειν ἐδόκει τὸ
for the proposed to-him aim well to-be it-seemed the
φρούριον τειχισθὲν, καὶ πρὸς τὴν ὅσον οὐ καὶ μελετωμένην
fortress walled and for the all but also being-planned
πολιορκίαν τῆς πόλεως ἐπιτειχισμὸν ἐνόμιζεν ἰσχυρότατον,
siege of-the city fortification-against he-thought strongest
ἀποκλείων αὐτῷ οὐ μόνον τὰς ἠπείρους Ἀσίαν τε καὶ
shutting-off for-him not only the continents Asia both and
Εὐρώπην, ἀλλὰ δὴ καὶ τὰς θαλάσσας ἀμφοτέρας,
Europe but indeed also the seas both
ἄνω μὲν τὸν Εὔξεινον πόντον διὰ τοῦ Βοσπόρου,
above indeed — Euxine sea through — Bosporus
κάτω δὲ τόν τε Αἰγαῖον καὶ πᾶσαν τὴν Ἑλληνικὴν
below and — both Aegean and all — Hellenic
θάλασσαν διὰ τοῦ Ἑλλησπόντου. Οὕτω δὲ διανοηθεὶς,
sea through — Hellespont thus and having-resolved
χειμῶνος μὲν τὰ πρὸς τὴν οἰκοδομὴν πάντα κελεύει
in-winter indeed the(-things) for the building all he-orders
παρασκευάζεσθαι, λίθους τέ φημι καὶ ξύλα καὶ σίδηρον
to-be-prepared stones both I-mean and timbers and iron
καὶ ὅσα ἄλλα πρὸς τοῦτο χρήσιμα, ἄρχοντας ἐπιστήσας
and whatever other for this useful officials having-set-over
τοῖς ἔργοις τοὺς σπουδαιοτάτους τε καὶ ἐμπειροτάτους,
the works the most-earnest both and most-experienced
ἐντειλάμενος τὴν ταχίστην ἅπαντά οἱ εὐτρεπῆ θέσθαι,
having-commanded the quickest all for-him ready to-make
ὡς ἅμα ἦρι ἀψομένῳ τοῦ ἔργου. Καὶ ὁ μὲν οὕτως.
as at-once with-spring about-to-take-up the work and he indeed thus

7.1 Βασιλεὺς δὲ Κωνσταντῖνος καὶ οἱ τῆς πόλεως
emperor and Constantine and the(-ones) of-the city
τοῦτο μαθόντες δεινὸν ἡγοῦντο τὸ πρᾶγμα καὶ μεγάλων
this having-learned terrible thought the affair and of-great
κακῶν ἀρχὴν καὶ δουλείας πρόδηλον ἀφορμὴν, νομίζοντες,
evils beginning and of-slavery manifest starting-point considering
ὅπερ ἦν ἀληθές, ἐπιτειχισμόν σφισί τε αὐτοῖς καὶ τῇ
which was true fortification-against for-them both themselves and for-the
πόλει κατασκευάζεσθαι τοῦτο, καὶ δυσφόρως ἔφερον.
city to-be-built this and grievously bore(-it)
Ἔδοξεν οὖν ὡς ἐκ τῶν παρόντων αὐτοῖς πρεσβείαν
it-seemed then as from the present for-them embassy
τε πέμπειν καὶ πειρᾶσθαι εἰ δύναιντο τρόπῳ παντὶ τῷ
both to-send and to-try if they-could by-way every the
δυνατῷ τὴν ἐπιχείρησιν ταύτην κωλύειν· καὶ πέμπουσι
possible the undertaking this to-hinder and they-send
δή (πρέσβεις). Οἱ δὲ ἀφικόμενοι λόγοις τε παντοίοις
indeed envoys they and having-arrived words both of-every-kind
ἐχρῶντο, τῶν τε ξυνθηκῶν καὶ τῶν ὡμολογημένων
used of-the both treaties and of-the(-things) agreed
ἀναμιμνήσκοντες, καὶ ὡς ἐν πάσαις ταῖς προγεγενημέναις
reminding and that in all the previously-made
τε καὶ ἀναγεγραμμέναις αὐτοῖς σπονδαῖς ἐπί τε τῶν
both and recorded by-them truces in-the-time-of both the
πάππων καὶ τοῦ πατρὸς, ἀλλὰ δὴ καὶ αὐτοῦ, παντάπασιν
grandfathers and the father but indeed also his(-own) altogether
ἀπείρητο μηδένα κτίζειν ἐν τῷδε τῷ χώρῳ μήτε
it-had-been-forbidden no-one to-build in this the place neither
φρούριον μήτε ἄλλο τι, ἀλλὰ καὶ τὸν βουλόμενον
fortress nor other anything but also the(-one) wishing
ἢ ὅλως ἐπιχειρήσοντα καὶ ἀμφοτέρους κωλύειν τρόπῳ
or at-all going-to-attempt even both to-hinder by-way

παντί, καὶ διεσώθη τὸ ἐξ ἐκείνου μέχρι καὶ νῦν· "ὁ
every and was-preserved the from that(-time) until even now the
χῶρος ἐλεύθερος, διάβασις δὲ μόνον ἁπλῶς, ἔφασαν, τῶν
place free crossing but only simply they-said of-the
ὑμετέρων στρατευμάτων τῶν τε ἄλλων ἀποσκευῶν ἐξ
your armies of-the and other baggage from
ἠπείρου ἐς ἤπειρον." Καὶ ἅμα ἠξίουν μηδαμοῦ λύειν τὰς
continent to continent and at-once they-asked nowhere to-break the
σπονδὰς χθὲς δὴ καὶ πρώην γεγενημένας μικρῶν
truces yesterday indeed and the-day-before made of-small(-things)
ἕνεκα, μηδὲ ἀδικεῖν ἐθέλειν μηδὲν ἀδικοῦντας αὐτούς.
for-the-sake nor to-wrong to-wish in-nothing wronging them
Βασιλεὺς δὲ ἀποκρίνεται τούτοις· "Οὔτε ἀδικεῖν ὑμᾶς, 8.1
emperor and answers to-them neither to-wrong you
ἄνδρες Ῥωμαῖοι, ἡγοῦμαι, οὔτε παρὰ τὰ ξυγκείμενα
men Romans I-think nor against the(-things) agreed
πράττειν καὶ τὰς σπονδὰς ἐν τῷδε τῷ ἔργῳ, ἀσφαλίζεσθαι
to-act and the truces in this the work to-secure
δὲ μόνον τὰ ἑαυτοῦ, μὴ μετὰ βλάβης μέντοιγε
but only the(-things) of-himself not with harm however
ὑμετέρας· ἕκαστον δὲ τὰ ἴδια φυλάττειν καὶ βεβαιοῦν
your each and the own(-things) to-guard and to-make-firm
μηδαμοῦ τοὺς ἐνσπόνδους βλάπτοντα δίκαιόν τέ ἐστι
nowhere the treaty-partners harming just both is
καὶ ἀνεμέσητον, καὶ πᾶσιν ἐφεῖται. Ἐγὼ δὲ, ὡς ὁρᾶτε,
and blameless and to-all is-permitted I and as you-see
Ἀσίας τε καὶ Εὐρώπης ἄρχω ἠπείρων διισταμένων
of-Asia both and of-Europe rule continents standing-apart
ἀλλήλαις, καὶ πολλοὺς ἔχω τοὺς ἐναντιουμένους τε καὶ
from-one-another and many I-have the(-ones) opposing both and
ἀνθισταμένους τῇ ἡμετέρᾳ ἀρχῇ ἐν ἑκατέρᾳ τούτων, καὶ
resisting the our rule in each of-these and

δεῖ πανταχοῦ τε παρεῖναί με καὶ ἀμφοτέραις ἀρκεῖν,
it-is-needed everywhere both to-be-present me and both to-suffice-for
εἴ γε μὴ βουλοίμην ἐξίστασθαι τούτων ἑκὼν εἶναι τοῖς
if at-least not I-should-wish to-give-up these willingly at-all to-the
ἡμετέροις ἐχθροῖς. Ἴστε δὲ δήπου καλῶς ὅσα καὶ
our enemies you-know and surely well how-many and
οἷα πράγματα παρέσχον ἐπὶ τοῦ μου πατρὸς αἱ
what-sort troubles caused in-the-time-of the my father the
τριήρεις τῶν Ἰταλῶν βουλομένοις διαβῆναι κατὰ Παιόνων
triremes of-the Italians to-us-wishing to-cross against Paionians
ἐπελθόντων τῇ ἡμετέρᾳ, περιπλέουσαί τε τὴν ἡμετέραν
having-attacked the our(-land) sailing-around both the our
θάλασσαν καὶ κωλύουσαι διαβαίνειν ἡμᾶς. Δεῖ οὖν
sea and hindering to-cross us it-is-needed then
ἀποτειχίσαι τε τὴν ἐπιχείρησιν ταύτην αὐτοῖς, καὶ
to-wall-off both the attempt this for-them and
ἀσφαλίσασθαι τὴν ἡμετέραν, καὶ μὴ πρὸς τῷ βλαβερῷ καὶ
to-secure the our(-land) and not besides the harm also
πᾶσιν ὄφλειν αἰσχύνην ἡμᾶς ὡς μὴ δυναμένους φυλάξαι
to-all to-incur shame us as not being-able to-guard
τὴν ἡμετέραν θάλασσαν καὶ ἀρχήν. Ὁ δὲ χῶρος οὗτος, ἐν
the our sea and rule the and place this in
ᾧ τὸ φρούριον μέλλω τειχίζειν, ἡμέτερός τέ ἐστι καὶ
which the fortress I-am-about to-wall ours both is and
τῶν ἡμετέρων διάβασις ἄνωθεν, ἀπό τε Ἀσίας ἐς τὴν
of-the our(-people) crossing from-of-old from both Asia into —
Εὐρώπην καὶ ἀπὸ ταύτης ἐς τὴν ἑτέραν, καὶ οὐ δεῖ
Europe and from this into the other and not it-is-needed
δήπου πολυπραγμονεῖν ὅλως ὑμᾶς, εἴ γε βούλοισθε τὴν
surely to-meddle at-all you if at-least you-should-wish the
εἰρήνην ἄγειν, εἰ μή που καὶ αὐτοὶ τῆς διαβάσεως
peace to-keep if not perhaps also yourselves from-the crossing

ταύτης εἴργειν ἡμᾶς βούλοισθε· τοῦτο γὰρ ἄλλος ἂν
this to-bar us you-should-wish this for other —
εἴη λόγος. Σπονδὰς δὲ οὔτε λύω οὔτε βουλήσομαι,
would-be account truces and neither I-break nor I-will-wish
μενόντων καὶ ὑμῶν κατὰ χώραν καὶ μηδαμοῦ τὰ ἡμέτερα
remaining also you in place and nowhere the our(-affairs)
πολυπραγμονούντων μηδὲ περιεργάζεσθαι βουλομένων."
meddling-in nor to-busy-yourselves wishing
Ταῦτα ἀποκρινάμενος ἀποπέμπει τοὺς πρέσβεις. Οἱ 9.1
these(-things) having-answered he-dismisses the envoys they
δὲ ἐπανήκοντες ἀπαγγέλλουσι πάντα τῷ βασιλεῖ
anyone would-find deficiencies other examining exactly for-us and

καὶ τὰ τῆς ἀρχῆς ἐπὶ μέγα ἦρται πολλῶν ἐπιδόσει·
also the(-things) of-the rule to great have-risen of-many(-things) by-increase
κατάλογοί τε γὰρ στρατευμάτων ἱππικοί τε καὶ πεζικοὶ
registers both for of-armies cavalry both and infantry
πλεῖστοι καὶ κάλλιστοι καὶ εὐοπλότατοι, μᾶλλον εἴπερ ποτὲ
very-many and finest and best-armed more if ever
καὶ νεότης εὐανδροῦσα πολλὴ, καὶ ἡ ἡμετέρα αὐλὴ νῦν
and youth abounding-in-men much and the our court now
μέγιστον ἔχει τὸ κράτος, χρήματά τε ἡμῖν πλεῖστα ἔν τε
greatest has the power money both for-us very-much in both
θησαυροῖς καὶ φόροις ἐπετείοις, καὶ ὅπλων εὐπορία πολλὴ
treasuries and tributes yearly and of-arms abundance much
καὶ μηχανῶν καὶ παρασκευῶν τῶν ἐς τὸν πόλεμον,
and of-engines and of-preparations the(-ones) for the war
καὶ τριήρεις οὐκ ὀλίγαι καὶ ἄλλα πολλὰ ἐπεγένετο,
and triremes not few and other many(-things) have-been-added
ἃ πάντα οὐ πρὸς μίαν ταύτην πόλιν, ἀλλὰ πολλαῖς
which all not against one this city but among-many
πόλεσιν ἀντιρρόποις αὐτῇ μερισθέντα ἤρκεσεν ἂν
cities counterbalancing to-it divided would-have-sufficed —
καταγωνίσασθαι πάσας. Ἔτι τε τῆς καθ' ἡμᾶς θαλάσσης
to-conquer all further both the by us sea
κρατοῦμεν καὶ τῆς κατ' αὐτὴν ἁπάσης, καὶ φρουρίοις
we-control and the by it all and with-fortresses
αὐτὴν ἄνω καὶ κάτω ἠσφαλισάμεθα διὰ τῶν πορθμῶν
it above and below we-have-secured through the straits
τῶν τε ἠπείρων ἀμφοτέρων, εἴργοντες αὐτὴν γῆς καὶ
from-the both continents both barring it of-land and
θαλάσσης ἁπάσης· ἄλλα τε πρόσεστιν ἡμῖν οὐκ ὀλίγα
of-sea all other both are-present for-us not few
πλεονεκτήματα, οἷς πᾶσι θαρρῶ καὶ πάνυ πιστεύω οὐκ
advantages in-which all I-trust and very I-believe not

ἀντισχήσειν ὅλως αὐτὴν, ἀλλ᾽ ἢ ἐξ ἐπιδρομῆς βίᾳ ἡμᾶς
to-hold-out at-all it but either by onslaught by-force us
τοῖς ὅπλοις ἑλεῖν ἄν, ἢ οὐ μακρᾷ πολιορκίᾳ αἱρήσειν.
with-the arms to-take — or not long in-siege to-take(-it)
Μόνον μὴ μέλλωμεν, μηδὲ διδῶμεν αὐτῇ καιρὸν ἔτι
only not let-us-delay nor let-us-give to-it time any-longer
βουλεύεσθαι καθ᾽ ἡμῶν, ἀλλὰ φανῶμεν ὅτι τάχιστα
to-plot against us but let-us-appear as quickly-as-possible
ἄνδρες ἀγαθοὶ, καὶ δείξωμεν αὐτῇ τε καὶ πᾶσιν ἀνθρώποις,
men good and let-us-show to-it both and to-all men
ὡς οὐκ ἀνανδρίᾳ ἢ δειλίᾳ καὶ ἀσθενείᾳ, μελλήσει δὲ
that not by-unmanliness or cowardice and weakness by-delay but
μᾶλλον καὶ ῥᾳθυμίᾳ καὶ μαλακίᾳ ἡμῶν περιγέγονε μέχρι
rather and by-slackness and softness of-ours it-has-survived until
τοῦ νῦν, μηδὲ τὰς τῶν ἡμετέρων προγόνων ἀνδραγαθίας
the now nor the of-the our forefathers brave-deeds
καὶ ἀρετὰς καταισχύνωμεν, μηδ᾽ ἀνάξιοι φανῶμεν ἐκείνων,
and virtues let-us-shame nor unworthy let-us-appear of-them
ἐν μέσῃ τῇ ἡμετέρᾳ ἀρχῇ τηλικαύτῃ γε οὔσῃ μίαν
in middle the our rule so-great at-least being one
πόλιν ἐῶντες ὥσπερ τύραννον καθεστάναι, πάντα τρόπον
city allowing as tyrant to-be-established in-every way
ἐπιβουλεύουσαν ταύτῃ, ἀλλὰ μᾶλλον δείξωμεν ἐξ ἐκείνων
plotting-against it but rather let-us-show from them
τε ὄντες καὶ τῇ ἐκείνων ἀνδρίᾳ καὶ ἀρετῇ κεχρημένοι.
both being and the their courage and virtue having-used
Ἐκεῖνοί τε γὰρ πᾶσαν Ἀσίαν τε καὶ Εὐρώπην ἐν
they both for all Asia both and Europe in
βραχεῖ χρόνῳ παραστησάμενοι ἰδίοις πόνοις τε καὶ
short time having-subdued by-own toils both and
κινδύνοις ἐκληρονόμησαν, καὶ πόλεις πολλὰς καὶ μεγάλας
dangers inherited and cities many and great

ἐχειρώσαντο, καὶ φρούρια ἐρυμνὰ ἐξεῖλον, καὶ γενῶν
subdued and fortresses strong took-out and races
ἀπείρων ἐκράτησαν· ἡμεῖς τε ταύτην ἑλόντες, ὡς ἔκ τινος
boundless mastered we both it having-taken as from some
ἀκροπόλεως ὁρμώμενοι, ξὺν ὀλίγῳ πόνῳ τε καὶ καιρῷ
acropolis setting-out with little toil both and time
τὰ λοιπὰ πάντα καταδραμούμεθα, καὶ οὐδὲν ἡμᾶς ἐπίσχει
the rest all we-will-overrun and nothing us checks
τοῦ πρόσω, οὐδὲ τῶν ἄλλων οὐδὲ ἓν ἀντιστῆναι
from-the forward(-way) nor of-the others not-even one to-resist
δυνήσεται τῇ ἡμετέρᾳ δυνάμει τε καὶ ἀρχῇ, ἀλλ' ἐν βραχεῖ
will-be-able the our power both and rule but in short(-time)
κύριοι γῆς καὶ θαλάσσης ἐσόμεθα. Μὴ τοίνυν ἀναβολαῖς
lords of-land and of-sea we-will-be not therefore postponements
ἔτι κεχρώμεθα, ἀλλὰ κατὰ τάχος ἐσβάλλωμεν ἐς
any-longer let-us-use but with speed let-us-invade into
αὐτὴν πᾶσι τοῖς ὑπάρχουσιν, οὕτω γνώμης ἔχοντες,
it with-all the possessions so of-mind being
ἢ ταύτην ἑλεῖν τε καὶ ἐξελεῖν, ἢ μηδ' ὅλως ταύτης
either it to-take both and to-take-out or not-even at-all from-it
ἀπαναστῆναι, εἴ γε δὴ καὶ τεθνάναι δέοι, ἕως
to-rise-up if at-least indeed even to-die it-should-be-needed until
ἂν ταύτης γενώμεθα κύριοι. Ἐγὼ δὲ καὶ αὐτὸς πρῶτος
— of-it we-become lords I and also myself first
παρέσομαι ὑμῖν καὶ τῶν πόνων προθύμως ξυμμετασχήσω,
will-be-present to-you and of-the toils eagerly will-share
καὶ πᾶσιν ἐπιστατήσω καλῶς, τιμήσω τε τοὺς ἀγαθοὺς
and all will-oversee well will-honor both the good
τοῖς ἀξίοις δώροις, ἕκαστον κατά τε ἀξίωσιν ἰδίαν
with-the worthy gifts each according-to both rank own

καὶ ἀρετὴν, καὶ ὅπως τις ἐπιφανὴς ἐν τοῖς κινδύνοις
and virtue and as anyone illustrious in the dangers
γενήσεται, ἢ ἐπ᾽ ἄλλῃ τινὶ διαπρέψῃ ἀνδραγαθίᾳ."
will-become or in other some may-distinguish-himself brave-deed
Ὁ μὲν δὴ τοιαῦτα εἰπὼν ἐπεψήφισεν ἤδη τὸν 17.1
he indeed indeed such(-things) having-said put-to-the-vote already the
πόλεμον, τῶν δὲ παρόντων πάντες σχεδὸν ἐπεκρότησαν
war of-the and present(-ones) all nearly applauded
πρὸς τὰ παρὰ τοῦ βασιλέως ῥηθέντα, ἐπαινοῦντες
at the(-things) by the emperor spoken praising
μὲν αὐτὸν τῆς εὐβουλίας τε καὶ ξυνέσεως καὶ τῆς
indeed him for-the good-counsel both and understanding and the
ἄλλης ἀνδρίας καὶ ἀρετῆς, ξυναινοῦντες δὲ καὶ αὐτοὶ
other courage and virtue assenting and also themselves
καὶ μᾶλλον παροξύνοντες ἐς τὸν πόλεμον, οἱ μὲν
and more urging-on to the war the(-ones) indeed
ἰδίας ἕνεκεν φιλοτιμίας καὶ κερδῶν, ἐλπίζοντες ἐκ τοῦδε
of-own for-the-sake ambition and gains hoping from this
πλέον ἕξειν καὶ τὰ αὐτῶν ἐπὶ μέγα χωρήσειν, οἱ δὲ
more to-have and the their(-affairs) to great to-advance the(-ones) and
χαριζόμενοί τε τῷ βασιλεῖ καὶ ἅμα κερδαίνειν καὶ αὐτοὶ
gratifying both the emperor and at-once to-gain also themselves
ἀπὸ τῶν τοιούτων ἐθέλοντες, ἕτεροι δὲ ἀγνοίᾳ τῶν
from the such(-things) wishing others and from-ignorance of-the(-things)
τοῦ πολέμου, ὅσοι τε νέοι ἦσαν καὶ τῶν τοιούτων
of-the war as-many-as both young were and of-the such(-things)
ἀπείρατοι· οἷς δὲ μὴ κατὰ γνώμην ἐδόκει τὸ πρᾶγμα
inexperienced to-whom but not according-to judgment seemed the affair
διά τέ τινας ἄλλας αἰτίας καὶ τὰς ἀναφυομένας δὴ
because-of both some other causes and the arising indeed
τῷ πολέμῳ δυσχερείας καὶ τύχας ὡς τὰ πολλὰ, οὗτοι
for-the war difficulties and fortunes as the most these

δὴ ἐβούλοντο μὲν εἰπεῖν τι πρὸς ἀποτροπὴν τοῦ
indeed wished indeed to-say something for averting of-the
πολέμου, ὁρῶντες δὲ τὴν τοῦ βασιλέως ἔνστασιν καὶ
war seeing but the of-the emperor insistence and
καταδρομὴν τήν τε τῶν ἄλλων πάντων πρὸς τοῦτο
onslaught the both of-the others all to this
ὁρμὴν, δείσαντες, ἐμοὶ δοκεῖν, καὶ ἄκοντες παρεχώρησαν
impulse having-feared to-me to-seem also unwilling gave-way
καὶ ξυναπήχθησαν τοῖς πολλοῖς, καὶ κυροῦται δὴ οὕτως
and were-carried-along with-the many and is-ratified indeed thus
ἐξ ἁπάντων ὁ πόλεμος. Κελεύει τοίνυν αὐτίκα τὸν τῆς
by all the war he-orders therefore at-once the —
Εὐρώπης σατράπην στρατιὰν ἀγείραντα κατὰ τάχος, τήν
of-Europe satrap army having-gathered with speed the
τε πόλιν αὐτὴν καὶ τὰ πέριξ ταύτης καταδραμεῖν,
both city itself and the(-places) around it to-overrun
ὅσα τε ἄλλα ὑπὸ Ῥωμαίοις ἦν. Ὁ δὲ μηδὲν μελλήσας,
whatever and other(-places) under Romans were he and nothing having-delayed
εὐθὺς στρατιὰν ἀγείρας κατατρέχει μὲν τὰ περὶ
at-once army having-gathered overruns indeed the(-places) around
τὴν πόλιν ἅπαντα καὶ τὸ ἄστυ μέχρις αὐτῶν τῶν πυλῶν,
the city all and the town as-far-as very the gates
καὶ ληίζεται· κατατρέχει δὲ [καὶ] Σηλυβρίαν καὶ τὰ
and plunders overruns and also Selymbria and the(-places)
περὶ αὐτὴν, ἀφιστᾷ τε τὰ περὶ τὴν ταύτῃ θάλασσαν,
around it detaches both the(-places) about the there sea
Πέρινθόν τε καὶ τὰ λοιπά, προσχωρεῖ δὲ αὐτῷ καὶ τὸ
Perinthos both and the rest goes-over and to-him also the
τῶν Ἐπιβατῶν φρούριον ὁμολογίᾳ, ξυναφιστᾷ δὲ καὶ
— of-Epibatai fortress by-agreement detaches-with(-them) and also
τὰ περὶ τὸν Μέλανα πόντον ὅσα Ῥωμαίοις ὑπήκοα
the(-places) around — Black sea as-many-as to-Romans subject

ἦν, χειροῦταί τε πρὸς τούτοις καὶ τὸ ἐν Μεσημβρίᾳ
were he-subdues both besides these also the in Mesembria
φρούριον, ὁμολογίᾳ καὶ αὐτὸ προσχωρῆσαν, τά τε ἄλλα
fortress by-agreement also itself having-gone-over the both other
πάντα ληίζεται καὶ πρὸς τὸ δοκοῦν διατίθησι.
all he-plunders and to the seeming arranges

Βασιλεὺς δὲ Κωνσταντῖνος καὶ οἱ τῆς πόλεως τῷ 18.1
emperor and Constantine and the(-ones) of-the city by-the
τε ἀθρόῳ τῆς μεταβολῆς τῷ τε παραλόγῳ τῆς ἐφόδου
both suddenness of-the change by-the both unexpectedness of-the attack
καταπλαγέντες καὶ πόλεμον ἀκήρυκτον ἐπελθόντα σφίσι
struck-down and war undeclared having-come-upon them
θεασάμενοι παρ᾽ ἐλπίδα (καὶ γὰρ ἤδη πρὸ μικροῦ ἔτυχον
having-seen against hope and for already before little happened
γεγονυῖαι αὐτοῖς αἱ σπονδαί), διαπρεσβεύεσθαι μὲν
having-been-made for-them the truces to-negotiate indeed
τοῦ λοιποῦ περὶ τούτων καὶ ξυμβάσεων καὶ εἰρήνης
for-the future about these and agreements and peace
μεμνῆσθαι παντάπασιν ἀπέγνωσαν· ᾔδεσαν γὰρ ἀδύνατον
to-mention altogether they-gave-up they-knew for impossible
ὂν, πρός τε τὴν τοῦ βασιλέως ὁρμὴν ἀφορῶντες καὶ
being to both the of-the emperor impulse looking and
τὰ γεγενημένα ὑπ᾽ αὐτοῦ εὐθὺς ἐξ ἀρχῆς, καὶ ὡς
the(-things) done by him at-once from beginning and how
πάντα ταῦτα ἐς οὐδὲν χρηστὸν ἔφερε, πολιορκίαν δὲ
all these to nothing good tended siege and
προσεδόκων ὅσον οὐκ ἤδη αὐτοῖς ἔσεσθαι, καὶ πόλεμον
they-expected all but already for-them to-be and war
ἄσπονδον κατὰ γῆν τε καὶ θάλασσαν, καὶ ὅσα πολέμου
truceless by land both and sea and whatever of-war
κακὰ, ἅλωσίν τε καὶ τὰ τῆς ἁλώσεως πάθη, φόνον
evils capture both and the of-the capture sufferings slaughter

τε τῶν ἐν ἡλικίᾳ καὶ διαρπαγὴν τῶν ὑπαρχόντων
both of-the(-ones) in age and plundering of-the possessions
καὶ σύλησιν ἱερῶν καὶ δουλείαν καὶ ὕβριν γυναικῶν
and despoiling of-sacred(-things) and slavery and outrage of-women
τε καὶ παίδων· οὐδὲ γὰρ ἐπὶ μικρὸν ἂν ἀντισχήσειν
both and of-children not-even for for little — to-hold-out
ᾤοντο, ἐπιόντος αὐτοῖς τοσούτου πολέμου κατὰ γῆν τε
they-thought coming-upon them such war by land both
καὶ θάλασσαν· οὕτως ἠλλοίωντό τε τὰς γνώμας εὐθὺς
and sea so they-were-altered both in-the judgments at-once
ἐξ ἀρχῆς, καὶ παντάπασιν ἀπεγνώκεσαν, καὶ χρηστὸν
from beginning and altogether had-despaired and good
οὐδὲν ἐνενόουν περὶ αὐτῶν· πρὸς γὰρ τὸ ἀνέλπιστόν
nothing thought about themselves to for the unhoped-for
τε καὶ ἀδόκητον τοῖς λογισμοῖς τραπόμενοι, ἑτοίμως
both and unexpected in-the reckonings turned readily
προΐεντο σφᾶς αὐτοὺς, καὶ οὐδεμίαν εἶχον τοῦ λοιποῦ
they-gave-up them selves and no had for-the future
σωτηρίας ἐλπίδα· αἴτιον δὲ ἦν αὐτοῖς· ἐν μὲν γὰρ ταῖς
of-safety hope cause and was for-them in indeed for the
προλαβούσαις πολιορκίαις πολλὰ εἶχον τὰ βοηθοῦντα,
preceding sieges many they-had the(-things) helping
καὶ ἐν ἐλπίσι μεγίσταις ἦσαν ἀεὶ τοῦ περιγενέσθαι· τῆς
and in hopes greatest they-were always of-the to-prevail the
τε γὰρ κατ' αὐτοὺς θαλάσσης ἐκράτουν, καὶ κατὰ γῆν
both for by them sea they-controlled and by land
μόνον ὁ πόλεμος αὐτοῖς ἦν, ὃν εἶχον ἀναφέρειν ῥᾳδίως,
only the war for-them was which they-could bear easily
ἐν ἑνὶ μέρει τῷ κατὰ γῆν ἀντιτεταγμένοι τοῖς πολεμίοις,
in one part the by land drawn-up-against the enemies
τά τε τῆς θαλάσσης ἑκατέρας πλώιμα ἦν ὁλκάσι τε
the both of-the sea each navigable was by-merchantmen both

καὶ πλοίοις μακροῖς, ἥ τε ἐμπορία καθειστήκει πολλὴν
and by-ships long the both trade was-established much
παρέχουσα τῶν ἀναγκαίων καὶ τῶν ἄλλων τὴν ἀφθονίαν,
providing of-the necessities and of-the others the abundance
καὶ ἡ πόλις ξένων τε καὶ ἀστῶν ἔγεμε, χρήματά
and the city of-foreigners both and of-citizens was-full money
τε πολλὰ ἔν τε τοῖς κοινοῖς καὶ τοῖς ἰδίοις καὶ τοῖς
both much in both the public and the private and the
ἱεροῖς ἀποκείμενα ἦν, ὅπλα τε καὶ νῆες καὶ βέλη
sacred(-treasuries) stored-up was arms both and ships and missiles
τά τε ἄλλα πάντα καλῶς αὐτῇ παρεσκεύαστο, ὡς μηδὲ
the both other all well for-it had-been-prepared so-that not-even
πολιορκίαν εἶναι τότε τὸ πρᾶγμα δοκεῖν. Νῦν δὲ ταῦτα
siege to-be then the affair to-seem now but these
πάντα ἐς τοὐναντίον ἦν τε καὶ ἐδόκει· ἥ τε γὰρ θάλασσα
all to the-opposite were both and seemed the both for sea
φρουρίοις τὸν ἄνω καὶ κάτω πορθμὸν διείληπτο καὶ
by-fortresses the upper and lower strait had-been-cut-off and
ὅλως ἄπλωτος ἦν, αἵ τε ἤπειροι ἐξεπεπολέμωντο, στόλος
wholly unsailable was the both continents had-been-made-hostile fleet
τε μέγας προσεδοκᾶτο καὶ τοῖς κατὰ θάλασσαν τείχεσι
both great was-expected also the by sea walls
προσβαλεῖν, καὶ αὐτοῖς ἀδύνατα ὅλως εἶναι ἐδόκει τῷ
to-attack and to-them impossible wholly to-be it-seemed in-the
πολέμῳ πρὸς πάντα τὸν περίβολον ἐξαρκεῖν ὀλιγανθρωπίᾳ·
war for all the circuit to-suffice by-shortage-of-men
ἔνδειά τε παντελὴς χρημάτων καὶ κοινῶν καὶ ἰδίων
lack both complete of-money both public and private
ἐπῆν, ἥ τε πόλις τῶν ἀναγκαίων πάντων ἐσπάνιζεν,
was-upon-them the both city of-the necessities all lacked
ἐπικουρία τε αὐτοῖς οὐδεμία οὐδαμοῦ πανταχόθεν ἐφαίνετο.
help both for-them none nowhere from-any-side appeared

Οὐχ ἧττον δὲ αὐτοὺς ἔθραττε καὶ τὰ παρὰ λόγον
not less and them troubled also the(-things) against reason
τότε γινόμενα, ἅπερ εἰς θεοσημείαν ἐλάμβανον, σεισμοί
then happening which as divine-sign they-took earthquakes
τε ἀήθεις καὶ ξένοι καὶ βρασμοὶ γῆς τά τε ἐξ
both unaccustomed and strange and heavings of-earth the(-things) both from
οὐρανοῦ, βρονταί τε καὶ ἀστραπαὶ καταρρηγνύμεναι καὶ
heaven thunders both and lightnings breaking-out and
κεραυνοὶ φρικώδεις καὶ σέλας ὁρώμενον καὶ πνεύματα
thunderbolts dreadful and blaze seen and winds
βίαια καὶ λάβρων ὑετῶν ἐπικλύσεις τε καὶ καταφοραὶ,
violent and of-violent rains floodings both and downpours
ἔτι δὲ ἀστέρων ἀσυνήθων ἄτακτοι φάσεις καὶ δρόμοι
further and of-stars unaccustomed disorderly appearances and courses
πεπλανημένοι καὶ πάλιν ἀφανισμοὶ, ἕτεροι δ' αὖ
wandering and again disappearances others and in-turn
κατεστηριγμένοι τε καὶ πολὺν δὴ χρόνον καπνὸν
fixed both and for-much indeed time smoke
ὑποφαίνοντα· ἄλλα τε πολλὰ τοιαῦτα τερατώδη τε καὶ
showing other both many such portentous both and
παρὰ τὸ εἰωθὸς ὑπεσήμαινε τὸ θεῖον, τό τε μέλλον
against the custom signified the divine the both future
προφοιβάζοντα καὶ μεγίστην ὑποφαίνοντα καινοτομίαν τῶν
foretelling and greatest showing innovation of-the
καθεστώτων τε καὶ μεταβολήν· εἰκόνες τε γὰρ ἵδρουν ἐν
established both and change icons both for sweated in
ἱεροῖς καὶ στῆλαι καὶ ἀνδριάντες τῶν μακαρίων ἀνδρῶν,
sacred(-places) and pillars and statues of-the blessed men
κατοχαί τε καὶ ἐνθουσιασμοὶ ἀνδρῶν τε καὶ γυναικῶν παρὰ
possessions both and frenzies of-men both and of-women against
δόξαν ἐγίνοντο, οὐδὲν αἴσιον προμηνύουσαι, οἵ τε μάντεις
expectation happened nothing auspicious foreshowing the both seers

ἀπαίσια πολλὰ ἐπεθείαζον, λόγιά τε παλαιὰ ᾄδετο
inauspicious(-things) many prophesied oracles both ancient were-sung
καὶ χρησμοὶ ἀνηρευνῶντο, καὶ ὅσα ἄλλα ἐν τοῖς τοιούτοις
and prophecies were-searched-out and whatever other in the such(-times)
ξυμβαίνειν φιλεῖ, πάντα ἐγίνετο, ἃ πάντα ἐς οὐδὲν
to-happen is-wont all happened which all to nothing
χρηστὸν φέροντα φόβον τε παρεῖχε πολὺν καὶ ἀγωνίαν
good tending fear both provided much and anguish
αὐτοῖς, καὶ ἑαυτῶν ὅλως ἐξίστα, καὶ περὶ τοῦ μέλλοντος
for-them and out-of-themselves wholly drove and about the future
οὐκ ἐδίδου θαρρεῖν. Πλήν γε δὴ ὡς ἐν κακοῖς
not allowed to-be-confident except at-least indeed as in evils
μικρὸν ἀναφέροντες, ἐκ τῶν ἐνόντων παρεσκευάζοντο,
a-little recovering from the available(-means) they-prepared
τάφρους τε καθαίροντες καὶ τὰ πεπονηκότα τοῦ τείχους
ditches both cleaning and the worn-out(-parts) of-the wall
ἀνορθοῦντες, τάς τε ἐπάλξεις ὁπλίζοντες πύργων τε καὶ
setting-upright the both battlements arming of-towers both and
μεταπυργίων, καὶ τὸ τεῖχος ἅπαν ἐπισκευάζοντες κατὰ γῆν
curtain-walls and the wall all equipping by land
τε καὶ θάλασσαν· ἔτι δὲ ὅπλων τε καὶ βελῶν ξυλλογὴν
both and sea further and of-arms both and of-missiles collection
ἐποιοῦντο καὶ μηχανημάτων παντοίων, τά τε ἔξω τῶν
they-made and of-engines of-all-kinds the both outside of-the
φρουρίων ἐπεσκεύαζον, ὅπλα καὶ φυλακὰς ἐπιπέμποντες, τάς
fortresses they-equipped arms and guards sending-in the
τε νήσους ἠσφαλίζοντο, μετὰ δὲ τὸν μέγαν λιμένα καὶ τὸ
both islands they-secured after and the great harbor and —
Κέρας ἅπαν, ἀπό γε τῶν τοῦ Γαλατᾶ νεωρίων μέχρι τῶν
Horn all from at-least the — of-Galata dockyards as-far-as the
Εὐγενίου πυλῶν, ᾗπερ τὸ στενότατον ἦν, ἁλύσεσι μακραῖς
of-Eugenios gates where the narrowest was with-chains long

διελάμβανον· χρήματά τε ἀπό τε τῶν κοινῶν καὶ τῶν
they-cut-across money both from both the public and the
ἰδίων καὶ τῶν ἱερῶν ξυνέλεγον, σῖτόν τε καὶ τὰ
private and the sacred(-treasuries) they-collected grain both and the(-things)
ἐς διατροφὴν ἐσεκόμιζον, τοῖς τε ἄλλοις πᾶσιν ὡς δυνατὸν
for nourishment they-brought-in with-the both other all as possible
ἐξηρτύοντο καὶ τοῖς ὅλοις ἐπεσκεύαζον τὴν πόλιν τε καὶ
they-fitted-out and in-the whole they-equipped the city both and
τὰ τείχη, ὡς κατὰ γῆν καὶ θάλασσαν πολιορκηθησόμενοι.
the walls as by land and sea going-to-be-besieged

19.1 Πρὸς δὲ τούτοις πρεσβείας ἔπεμπον πανταχοῦ, ὅθεν
besides and these embassies they-sent everywhere from-where
ἦν αὐτοῖς ἐλπὶς ἐπικουρίαν ἔξειν τινά, τοῦτο μὲν ἐς
was for-them hope help to-have some this indeed to
Πελοπόννησον παρὰ τοὺς ταύτῃ δεσπότας, σῖτόν τε
Peloponnese to the there despots grain both
καὶ ἄνδρας εἰς ἐπικουρίαν αἰτοῦντες (ἐνόμιζον γὰρ
and men for help asking they-thought for
παρατεθήσεσθαι πολιορκίαν αὐτοῖς μέχρι πολλοῦ, καὶ μὴ
to-be-laid siege on-them until long and not
ἐξ ἐπιδρομῆς βίᾳ ὅπλοις ἁλῶναι ἄν, ἧπερ ἑάλωσαν),
from onslaught by-force by-arms to-be-taken — as they-were-taken
τοῦτο δὲ παρὰ τὸν μέγαν ἀρχιερέα τῆς Ῥώμης, ᾧ
this and to the great high-priest — of-Rome in-whom
καὶ μᾶλλον εἶχον θαρρεῖν, ἔτι δὲ καὶ παρὰ τοὺς
also more they-could to-trust further and also to the
ἄλλους ἡγεμόνας τῆς Ἰταλίας καὶ τῶν ἄλλων ἑσπερίων
other leaders — of-Italy and of-the other western
γενῶν, δεόμενοι ξυμμαχίας τε καὶ ἐπικουρίας τὴν ταχίστην
races begging alliance both and help the quickest

τυχεῖν, εἴ γε μὴ μέλλοιεν κινδυνεύσειν ἐν ἀκμῇ κινδύνων
to-obtain if at-least not they-were-to be-in-danger in peak of-dangers
ἤδη καθεστηκότες. Καὶ οἱ μὲν ἐν τούτοις ἦσαν.
already standing and they indeed in these(-things) were
Βασιλεὺς δὲ Μεχέμετις, ἐπειδὴ τὸν πόλεμον λαμπρῶς 20.1
emperor and Mehmed when the war brilliantly
ἐξήνεγκεν ἤδη, καὶ τῶν ἔξω τὰ μὲν κατέδραμε
he-brought-out already and of-the(-places) outside the(-ones) indeed he-overran
καὶ διήρπασε, τὰ δὲ ἀπέστησε, τὰ δὲ ἐχειρώσατο,
and plundered the(-ones) and he-detached the(-ones) and he-subdued
παρεσκευάζετο ἅμα ἦρι καὶ αὐτῇ τῇ πόλει κατὰ γῆν
he-prepared at-once with-spring also very the city by land
καὶ θάλασσαν προσβαλεῖν. Καὶ πρῶτα μὲν ξυνῆγε τὰς
and sea to-attack and first indeed he-gathered the
δυνάμεις καὶ ξυνεκρότει, καὶ τὰ στρατεύματα πανταχόθεν
forces and drilled and the armies from-all-sides
ξυνήθροιζεν ἔκ τε Ἀσίας καὶ Εὐρώπης, ἱππικά τε καὶ
collected from both Asia and Europe cavalry both and
πεζικὰ, ἔτι δὲ ὁπλίτας τε καὶ τοξότας καὶ σφενδονήτας
infantry further and hoplites both and archers and slingers
κατέλεγε, καὶ ἀκοντιστὰς καὶ πᾶσαν ἄλλην τάξιν
he-enrolled and javelin-men and every other rank
ἐξήταζεν, ὅπλα τε κατεσκεύαζεν ἐς ἀσφάλειαν τῶν
he-reviewed arms both he-made for safety of-the(-ones)
προμαχομένων, ἀσπίδας τε καὶ κράνη καὶ θώρακας καὶ
fighting-in-front shields both and helmets and breastplates and
θυρεοὺς ἔξωθεν καταφράκτους σιδήρῳ, πρὸς δὲ βέλη τε
door-shields outside covered with-iron besides and missiles both
καὶ ἀκόντια καὶ ξίφη καὶ ὅσα ἄλλα οἱ ἐς τειχομαχίαν
and javelins and swords and whatever other to-him for wall-fighting
ἐδόκει ἐπιτήδεια εἶναι πάντα μετὰ πολλῆς ἐποίει σπουδῆς·
seemed suitable to-be all with much he-made zeal

πρὸς δὲ τούτοις μηχανὰς κατεσκεύαζε τῷ τείχει παντοίας,
besides and these engines he-built for-the wall of-every-kind
τάς τε ἄλλας καὶ τὰς πετροβόλους δὴ ταύτας (καὶ)
the both others and the stone-throwing indeed these and
νεωτέρας, πρᾶγμα ξένον καὶ εἰς ἀκοὴν ἄπιστον, ὡς ἔδειξεν
newer affair strange and to hearing incredible as showed
ἡ πεῖρα, αἳ καὶ τὸ πᾶν ἐδυνήθησαν κατεργάσασθαι
the trial which also the all were-able to-accomplish

21.1 Πρὸ πάντων δὲ τοῦ ναυτικοῦ ἐπεμέλετο, τριήρεις
before all and the navy he-cared-for triremes
τὰς μὲν ἐκ νέου ναυπηγούμενος, τὰς δὲ τῷ
the(-ones) indeed from new building the(-ones) and by-the
χρόνῳ πεπονηκυίας ἀνορθῶν, τὰς δὲ διαβρόχους
time worn-out setting-right the(-ones) and waterlogged
οὔσας ἀνακεύων καὶ θεραπεύων· ἔτι δὲ πλοῖα μακρὰ
being caulking and tending further and ships long
κατεσκεύαζε, τὰ δὲ καὶ κατάφρακτα, καὶ ταχείας ναῦς
he-built the(-ones) and also decked and swift ships
τριακοντόρους τε καὶ πεντηκοντόρους, καὶ τὴν ἄλλην δὲ
thirty-oared both and fifty-oared and the other and
ἅπασαν τούτων ἐπισκευήν τε καὶ χρείαν ἑτοιμάζων τε ἦν
all of-these equipment both and use preparing both he-was
καὶ διορθούμενος ὅτι τάχιστα, μηδενὸς τῶν ἐς τοῦτο
and setting-right as quickly-as-possible nothing of-the(-things) to this
φερόντων φειδόμενος. Πρὸς δὲ τούτοις ναυτικὸν ξυνέλεγεν
tending sparing besides and these navy he-collected
ἐκ πάσης τῆς αὐτοῦ παραλίας Ἀσιανῆς τε καὶ Εὐρωπαίας,
from all the his coast Asian both and European
ἐρέτας τε καὶ θρανίτας καὶ θαλαμίους καὶ τοὺς ἐπὶ τῶν
rowers both and top-rowers and bottom-rowers and the(-ones) on the
καταστρωμάτων ἐπιλεγόμενος, ἔτι δὲ κυβερνήτας καὶ
decks choosing further and helmsmen and

κελευστὰς, τριηράρχους τε καὶ ναυάρχους καὶ στρατηγούς·
boatswains trierarchs both and admirals and generals
καὶ τὰ ἄλλα δὲ πληρώματα τῶν νεῶν μετὰ πολλῆς
and the other and crews of-the ships with much
ἐπιμελείας τε καὶ σπουδῆς ἐξεπλήρου· πλέον γὰρ ἰσχύσειν
care both and zeal he-filled-up more for to-be-strong
ἐς τὴν πολιορκίαν τε καὶ τὸν πόλεμον ἐδόκει τῷ κατὰ
for the siege both and the war it-seemed the by
θάλασσαν ναυτικῷ ἢ τῇ κατὰ γῆν στρατιᾷ, καὶ διὰ
sea navy than the by land army and because-of
τοῦτο τὸ πλέον ἔνεμε τῆς ἐπιμελείας αὐτῷ, καὶ πάσῃ
this the more he-allotted of-the care to-it and all
σπουδῇ καὶ προθυμίᾳ, προσέτι γε μὴν καὶ φιλοτιμίᾳ πρὸς
zeal and eagerness besides at-least indeed also ambition for
τὸ ἔργον ἐχρῆτο, προὔργου τι τοῦτο νομίζων εἶναι.
the work he-used advantageous something this thinking to-be
Ἐν τούτοις δ' ὄντος αὐτοῦ καὶ παρασκευαζομένου 22.1
in these(-things) and being him and preparing
χειμῶνος, καὶ τὸ ἔαρ ὑπέφαινεν ἤδη, καὶ ὃς εὐθὺς τὰς
in-winter also the spring was-showing already and he at-once the
μὲν ναῦς παρεσκεύαζεν ἐς ἀναγωγὴν ἀπὸ Καλλιουπόλεως
indeed ships prepared for putting-out from Kallipolis
(ἐκεῖ γὰρ ἦσαν αὐτῷ ξυνηγμέναι), ἡγεμόνα καὶ
there for were for-him gathered leader and
στρατηγὸν ἐπιστήσας αὐταῖς Παλτόγλην τὸν σατράπην
general having-set-over them Baltoğlu the satrap
Καλλιουπόλεως. Ἦσαν δ' αἱ πᾶσαι τὸν ἀριθμὸν, ὡς
of-Kallipolis were and the all in-the number as
ἐλέγοντο, τριακόσιαι καὶ πεντήκοντα, ἄνευ μέντοι γε
were-said three-hundred and fifty without however at-least
τῶν σκευαγωγῶν καὶ τῶν κατ' ἄλλην τινὰ χρείαν ἢ
the baggage-carriers and the(-ones) for other some need or

ἐμπορίαν ἀφικνουμένων· αἱ δ᾽ ἀνήγοντο τάχει πολλῷ
trade arriving they and put-out with-speed much
ξὺν βοῇ καὶ θορύβῳ καὶ ἀλαλαγμῷ, εἰρεσίᾳ τε χρώμεναι
with shout and uproar and war-cry rowing both using
καὶ παρακελευσμῷ καὶ πατάγῳ καὶ ἀντιφιλοτιμήσει πρὸς
and exhortation and clatter and rivalry toward
ἀλλήλας, ὑπερηχοῦσαι τὸν Ἑλλήσποντον, ἔκπληξιν δὲ
one-another echoing-over — Hellespont astonishment and
καὶ φόβον ὅτι πλεῖστον παρέχουσαι τοῖς ὁρῶσι·
and fear as most providing to-the(-ones) seeing
διὰ πολλοῦ γὰρ χρόνου οὐδαμοῦ τοσοῦτος στόλος νεῶν
through much for time nowhere so-great fleet of-ships
καὶ παρασκευὴ τοσήδε κατὰ θάλασσαν ἐγεγόνει· ὃ
and preparation so-great by sea had-come-about which
δὴ καὶ μᾶλλον τοὺς ταλαιπώρους Ῥωμαίους ἐξέπληξε
indeed also more the wretched Romans astonished
παρ᾽ ἐλπίδα φανὲν, καὶ εἰς ἀπόγνωσιν καὶ ἀθυμίαν
against hope appearing and into despair and despondency
μεγίστην ἐνέβαλε, καὶ πᾶσαν ἄλλην ἐλπίδα χρηστὴν
greatest threw and every other hope good
αὐτῶν παρῄρητο. Πρότερον μὲν γὰρ ἡνίκα προσέβαλλον
of-them had-taken-away before indeed for when attacked
αὐτοῖς οἱ πολέμιοι, κατὰ γῆν ἐπολιορκοῦντο μόνον, τῆς δὲ
them the enemies by land they-were-besieged only the and
θαλάσσης ἐκράτουν, καὶ εἶχον τά τε ἐπιτήδεια ἄφθονα τῇ
sea they-controlled and had the both provisions abundant the
κατὰ θάλασσαν ἐμπορίᾳ χρώμενοι, τόν τε πόλεμον ῥᾳδίως
by sea trade using the both war easily
ἀνέφερον, καὶ τὰς προσβολὰς οὐ χαλεπῶς ἀπεκρούοντο
they-bore and the attacks not with-difficulty repelled
διὰ πολυχειρίαν, τῶν πολεμίων ἐνὶ μέρει καὶ μόνῳ τῷ
because-of numbers of-the enemies in-one part and only the

κατὰ γῆν μαχομένων· νῦν δὲ κατά τε γῆν καὶ θάλασσαν
by land fighting now but by both land and sea
ἐπιόντα ὁρῶντες τὸν πόλεμον, εἰκότως ἐξεπλήττοντο καὶ
coming-on seeing the war naturally they-were-astonished and
εἰς ἀπορίαν μεγίστην καὶ φόβον δεινὸν ἐνέπιπτον. Καὶ ὁ
into perplexity greatest and fear terrible fell and the
μὲν κατὰ θάλασσαν στόλος τῷ βασιλεῖ οὕτως ἀνήγετο.
indeed by sea fleet for-the emperor thus put-out
Αὐτὸς δὲ ἄρας ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ 23.1
himself and having-set-out from the of-Hadrian(-city) with-all the army
ἱππικῷ τε καὶ πεζικῷ διὰ τῆς μεσογείας ἐχώρει, ἅπαντα
cavalry both and infantry through the inland went all
ξυγκυκῶν τε καὶ ξυνταράττων καὶ φόβον καὶ ἀγωνίαν
stirring-up both and confounding and fear and anguish
καὶ φρίκην μεγίστην ἐμποιῶν καθ' οὓς ἂν γένοιτο,
and shuddering greatest instilling among whom — he-might-come
ξυνεπαγόμενος ἅμα οἱ καὶ τὰς μηχανάς· καὶ ἀφικνεῖται
bringing-along at-once with-him also the engines and arrives
δεκαταῖος ἐς τὸ Βυζάντιον, καὶ στρατοπεδεύεται πρὸς
on-the-tenth-day at — Byzantium and encamps near
τῇ πόλει ἐγγύς που τοῦ τείχους, ὅσα ἀπὸ σταδίων
the city close somewhere to-the wall about from stades
τεσσάρων, πρὸς ταῖς καλουμέναις πύλαις τοῦ Ῥωμανοῦ.
four by the called gates — of-Romanos
Αἱ δὲ νῆες ὁρμίζονται ἄλλῃ καὶ ἄλλῃ τῆς ἠπείρου
the and ships anchor here and there of-the mainland
καταντικρὺ τῆς πόλεως, πληρώσασαι πᾶσαν τὴν ταύτῃ
opposite the city having-filled all the there
παραλίαν. Ὁ δὲ στρατὸς ἅπας ἦν, ὡς ἐλέγετο, ὑπὲρ
coast the and army whole was as was-said over

τὰς τριάκοντα μυριάδας τὸ μάχιμον, ἄνευ μέντοιγε τοῦ
the thirty myriads the fighting(-part) without however the
ἄλλου ὁμίλου, ὃς πολὺς εἵπετο.
other crowd which large followed

24.1 Ῥωμαῖοι δὲ στρατὸν τοσοῦτον πεζόν τε καὶ ναυτικὸν καὶ
Romans and army so-great infantry both and naval and
παρασκευὴν τοσήνδε κατὰ γῆν καὶ θάλασσαν ἐπιοῦσαν
preparation so-great by land and sea coming-on
ὁρῶντες ἐξεπλήττοντο μὲν τῷ τε παραλόγῳ τῆς θέας
seeing were-astonished indeed by-the both unexpectedness of-the sight
τῷ τε ἀθρόῳ τῆς ἐπιθέσεως, οὐ μὴν ἠμέλουν γε
by-the both suddenness of-the attack not indeed neglected at-least
καὶ αὐτοὶ τῶν ἐς τὸν πόλεμον καὶ τὴν ἐναντίαν
also themselves the(-things) for the war and the opposing
παρασκευήν, ἀλλὰ πάντα ἐποίουν, μηδὲν ὑφιέντες. Καὶ
preparation but all did nothing slackening and
πρῶτον μὲν ὁλκάδας μεγάλας περί τε τὴν ἄλυσιν καὶ
first indeed merchantmen great about both the chain and
τὸ στόμα τοῦ μεγάλου λιμένος ἀντιπρώρους βύζην
the mouth of-the great harbor prow-to-prow close-packed
ὥρμιζον, καὶ τριήρεις μακρὰς περὶ αὐτὰς, ὡς ταύτῃ
they-anchored and triremes long about them as there
τὸν ἔσπλουν τῶν πολεμίων κωλύσοντες. Ἔτυχον δὲ
the sailing-in of-the enemies going-to-hinder happened and
τότε παροῦσαι καὶ τριήρεις ἐξ Ἰταλίας ἓξ Ἐνετικαὶ,
then being-present also triremes from Italy six Venetian
οὐκ ἐπὶ πόλεμον, ἀλλὰ κατὰ χρείαν ἰδίαν, καὶ ὁλκάδες
not for war but for need own and merchantmen
μεγάλαι ἐκ Κρήτης ἀφιγμέναι κατ' ἐμπορίαν, ἃς ἀξιώσει
great from Crete having-arrived for trade which by-request
κατέσχον, πείσαντες παραμεῖναι τῷ πολέμῳ.
they-detained having-persuaded to-stay-on for-the war

Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις ἀφικνεῖται καί τις ἀνὴρ 25.1
in and the same days arrives also a-certain man
Ἰταλὸς, Ἰουστῖνος ὄνομα, δυνατός τε καὶ τῶν εὖ
Italian Giustiniani by-name powerful both and of-the(-ones) well
γεγονότων, ἀλλὰ δὴ καὶ τὰ ἐς πόλεμον ἔμπειρος
born but indeed also in-the(-things) for war experienced
καὶ μάλα γενναῖος, ἔχων μεθ' ἑαυτοῦ καὶ δύο τῶν μεγάλων
and very noble having with himself also two of-the great
ὁλκάδων, ἃς οἴκοθεν αὐτὸς ἐπισκευάσας καὶ ὁπλίσας
merchantmen which from-home himself having-equipped and having-armed
καλῶς ἀνδράσι τε καὶ ὅπλοις παντοίοις (εἶχε γὰρ
well with-men both and arms of-every-kind he-had for
ἐπάνω τῶν καταστρωμάτων τούτων ἄνδρας καταφράκτους
above the decks of-these men armored
τετρακοσίους) διέτριβε περί τε Χίον καὶ Ῥόδον
four-hundred he-was-spending-time about both Chios and Rhodes
καὶ τὴν ταύτῃ θάλασσαν, λοχῶν τινας τῶν αὐτῷ
and the there sea lying-in-wait-for some of-the to-him
διαφόρων· ὃς προμαθὼν τόν τε πόλεμον Ῥωμαίων
hostile who having-learned-beforehand the both war of-Romans
καὶ τὴν ὅσον οὐ τῆς πόλεως ἐσομένην πολιορκίαν καὶ
and the all but of-the city going-to-be siege and
τὴν μεγάλην τοῦ βασιλέως Μεχέμετι παρασκευὴν κατ'
the great of-the emperor Mehmed preparation against
αὐτῆς, ἦκεν αὐτόκλητος ξὺν ταῖς ὁλκάσι βοηθήσων
it came self-called with the merchantmen going-to-help
Ῥωμαίοις καὶ βασιλεῖ Κωνσταντίνῳ· εἰσὶ δὲ οἱ καὶ
Romans and emperor Constantine there-are and those-who also
μετάκλητον αὐτὸν γενέσθαι φασὶ παρ' αὐτοῦ ὑπεσχημένου
summoned him to-have-been say by him having-promised
μετὰ τὸν πόλεμον μισθὸν τῆς βοηθείας τὴν Λῆμνον
after the war as-pay of-the help — Lemnos

αὐτῷ. Οὗτος ἐν ὀλίγῳ πεῖραν τῆς αὐτοῦ γνώμης τε καὶ
to-him this-man in little trial of-the his judgment both and
τῶν τρόπων ἀκριβῆ παρασχὼν, καὶ πίστεις δοὺς καὶ
of-the ways exact having-given and pledges having-given and
λαβὼν, δέχεται καὶ τιμᾶται παρά τε τοῦ βασιλέως
having-received is-received and is-honored by both the emperor
καὶ τῶν ἐν τέλει καὶ τῆς πολιτείας λαμπρῶς, καὶ
and the(-ones) in office and the state brilliantly and
καθίσταται παρ᾽ αὐτῶν στρατηγὸς αὐτοκράτωρ καὶ κύριος
is-appointed by them general with-full-power and lord
τοῦ πολέμου παντὸς καὶ βουλῆς καὶ ῥητῶν καὶ
of-the war whole and of-counsel and of-things-spoken and
ἀπορρήτων καὶ ὅπλων καὶ πάσης τῆς τοῦ πολέμου
of-secrets and of-arms and all the of-the war
χρείας τε καὶ παρασκευῆς. Καταστὰς οὖν ἐν τῷ τοιῷδε,
need both and preparation established then in the such(-office)
παντοίως ἐπεσκεύαζε τὴν πόλιν, τό τε κατὰ γῆν τεῖχος
in-every-way he-equipped the city the both by land wall
ἅπαν ὁπλίζων καὶ τὰς ἐπάλξεις πετροβόλοις τε μηχαναῖς
all arming and the battlements with-stone-throwing both engines
καὶ παντοίοις ὅπλοις, τούς τε προμαχομένους τε καὶ
and with-every-kind arms the and front-fighters both and
προπολεμοῦντας τούτων ἐκτάττων καλῶς καὶ καθιστῶν
fore-combatants of-these drawing-up well and stationing
ἕνα ἕκαστον ᾗ δεῖ, καὶ παραγγέλλων, ὅπως χρὴ
one each where it-is-needed and instructing how it-is-necessary
τοὺς ἐπιόντας ἀμύνεσθαι καὶ φυλάττειν τὸ τεῖχος·
the(-ones) attacking to-ward-off and to-guard the wall
ἔτι δὲ τὸν λιμένα καλῶς ἠσφαλίσατο, ᾗπερ εἴρηται,
further and the harbor well he-secured as has-been-said
ὁλκάσι τε καὶ τριήρεσι καὶ μηχαναῖς παντοίαις, καὶ
with-merchantmen both and triremes and engines of-every-kind and

τὸ κατὰ θάλασσαν ἅπαν τεῖχος, ὥσπερ δὴ καὶ τὸ τῆς
the by sea whole wall as indeed also the of-the
ἠπείρου, ἀρκούντως ὥπλισεν· ἦν γὰρ ὁ ἀνὴρ πολέμων
mainland sufficiently he-armed was for the man of-wars
ἔμπειρος, ἥπερ ἔφην, καὶ τὰ ἐς τειχομαχίαν μάλιστα
experienced as I-said and in-the(-things) for wall-fighting most
ἱκανῶς ἤσκητο. Ἐγχειρίζεται δὲ καὶ τὸ καταντικρὺ τοῦ
adequately trained is-entrusted and also the opposite of-the
βασιλέως στρατοπέδου μέρος τοῦ τείχους, ὡς ἐπίμαχόν τε
emperor camp part of-the wall as assailable both
ὄν, ὅπη δὴ καὶ τὸ καθαρώτατον ἦν τοῦ στρατοῦ καὶ
being where indeed also the purest was of-the army and
ἡ βασίλειος ἴλη τε καὶ αὐλὴ, καὶ οὗ τὰς μηχανὰς
the royal squadron both and court and where the engines
ἔδει τοὺς πολεμίους προσαγαγεῖν, ὥστε προπολεμεῖν
it-was-needed the enemies to-bring-up so-that to-fight-in-front
τε αὐτὸς αὐτοῦ καὶ προμάχεσθαι καὶ φυλάττειν μετά γε
both himself there and to-fight-before and to-guard with at-least
τῶν ξὺν αὐτῷ· εἶχε γὰρ ὑφ' αὑτὸν, ὡς ἔφθην εἰπών,
the(-ones) with him he-had for under himself as I-said-before saying
καταφράκτους ἄνδρας τετρακοσίους ἄνευ γε τῶν ἄλλων
armored men four-hundred without at-least the other
πληρωμάτων τῶν νεῶν. Γίνεται δὲ τότε καί τις ἐκδρομὴ
crews of-the ships happens and then also a-certain sally
βραχεῖα τῶν ἐκ τῆς πόλεως πρός τινας τῶν ἀπὸ
brief of-the(-ones) from the city against some of-the(-ones) from
τῆς στρατιᾶς προκαταδραμόντας ἀτάκτως, καὶ ἀπέκτειναν
the army having-run-ahead in-disorder and they-killed
ἐνίους αὐτῶν, ὀλίγους δὲ καὶ ἔτρωσαν. Μετὰ δὲ ταῦτα
some of-them a-few and also wounded after and these(-things)
ξυνελαθέντες ὑπὸ πολλῶν ἀντεκδραμόντων ἀπὸ τῆς
driven-together by many counter-sallying from the

στρατιᾶς, κατέφυγον ἐς τὴν πόλιν, καὶ κλείσαντες τὰς
army they-fled into the city and having-shut the
πύλας οὐκέτι ἐπεξέθεον, ἀλλ᾽ ἐφύλαττον μόνον τὴν πόλιν.
gates no-longer sallied but guarded only the city
26.1 Μεχέμετις δὲ ὁ βασιλεὺς στρατόπεδον θέμενος αὐτοῦ
Mehmed and the emperor camp having-placed there
που περὶ τὸ καλούμενον Μεσοτείχιον καὶ τὸ Μυριάνδριον
somewhere near the called Mesoteichion and — Myriandrion
οὐ πόρρω τοῦ τείχους, ἀλλ᾽ ὅτι ἐγγυτάτω καὶ ὅσον
not far from-the wall but as closest and so-far
μὴ ἔσω βελῶν εἶναι, πρῶτον μὲν δεῖν ἔγνω λόγοις
not within missiles to-be first indeed to-be-needful he-resolved words
χρήσασθαι πρὸς Ῥωμαίους, εἰ βούλοιντο παραδόντες
to-use toward Romans if they-would-wish having-handed-over
αὐτῷ τήν τε πόλιν καὶ ἑαυτοὺς μετὰ ξυμβάσεων καὶ
to-him the both city and themselves with agreements and
ὅρκων πιστῶν καθῆσθαι ξὺν γυναιξὶ καὶ τέκνοις καὶ τοῖς
oaths trustworthy to-stay with wives and children and the
ὑπάρχουσι πᾶσι σῶς καὶ κακῶν ἀπαθεῖς, ἀπολαύοντες
possessions all safe and of-evils unharmed enjoying
τῶν ἰδίων εἰρηνικῶς· καὶ πέμπει δὴ τοὺς ταῦτα
the own(-things) peaceably and he-sends indeed the(-ones) these(-things)
ἐροῦντας, οἱ καὶ παραγενόμενοι ἀπήγγειλαν τὰ παρὰ
going-to-say who also having-arrived reported the(-things) from
τοῦ βασιλέως. Οἱ δὲ οὐκ ἐδέξαντο ἐπὶ τούτοις, εἰπόντες
the emperor they but not accepted on these(-terms) having-said
ἄλλας σπονδὰς ἐθέλειν ποιεῖσθαι, τὴν πόλιν δὲ ἀδύνατα
other truces to-wish to-make the city but impossible
εἶναι παραδώσειν αὐτῷ. Βασιλεὺς δὲ τούτων ἀκούσας,
to-be to-hand-over to-him emperor and these having-heard
εὐθὺς ἔκειρέ τε τὴν γῆν καὶ τὰ πέριξ πάντα τῆς
at-once ravaged both the land and the(-places) around all of-the

πόλεως ἐδῄωσε. Μετὰ δὲ τοῦτο ἀναλαβὼν τόν τε Ζάγανον
city laid-waste after and this having-taken — both Zaganos
καὶ Χαλίλην, ἄνδρας τῶν πρώτων παρ᾽ αὐτῷ, ξὺν αὐτοῖς
and Halil men of-the first with him with them
δὲ καὶ ἑτέρους τῶν σατραπῶν, περιῄει τὸ κατ᾽ ἤπειρον
and also others of-the satraps went-around the by mainland
μέρος τῆς πόλεως, κατασκοπῶν τὸ ταύτῃ τεῖχος, ᾗ τε
part of-the city surveying the there wall where both
ἐπιμαχώτατον εἴη ἐς προσβολήν, ᾗ τε ἀπόμαχον, καὶ
most-assailable it-might-be for attack where both unassailable and
ᾗ δεῖ προσάγειν τὰς μηχανὰς ὥστε κατασεῖσαι αὐτό.
where it-is-needed to-bring-up the engines so-as to-shake-down it
Μετὰ δὲ τοῦτο ἐκτάσσει πᾶσαν τὴν στρατιάν, τούς τε 27.1
after and this he-draws-up all the army the both
σατράπας καὶ ἰλάρχας καὶ ταγματάρχας καὶ ἡγεμόνας
satraps and squadron-leaders and battalion-commanders and leaders
τῶν τάξεων, διδοὺς ἑκάστῳ καὶ τάξιν καὶ τόπον, ᾗ
of-the ranks giving to-each both rank and place where
δεῖ φυλάττειν καὶ μάχεσθαι, καὶ παραγγέλλων ἃ
it-is-needed to-guard and to-fight and instructing what
δεῖ ποιεῖν. Διελὼν δὲ κατὰ μέρη τὴν πόλιν ἅπασαν
it-is-needed to-do having-divided and by parts the city all
καὶ τὸ τεῖχος κατὰ γῆν τε καὶ θάλασσαν, Ζαγάνῳ μὲν καὶ
and the wall by land both and sea to-Zaganos indeed and
τοῖς ὑπ᾽ αὐτὸν ξύν γε καὶ ἑτέροις τισὶ τῶν λοχαγῶν
to-the(-ones) under him with at-least also others some of-the captains
καταπιστεύει τήν τε πολιορκίαν τοῦ Γαλατᾶ καὶ τὸ κατ᾽
he-entrusts the both siege — of-Galata and the by
αὐτὸν μέρος ἅπαν ξύν γε τῷ Κέρατι καὶ λιμένι παντὶ
it part all with at-least — Horn and harbor all
ἀνιόντι μέχρι τῆς ὀνομαζομένης Ξυλίνης πύλης τῆς πόλεως,
going-up as-far-as the called Wooden gate of-the city

ἐνδοὺς αὐτῷ καὶ γεφυροῦν τὸν ταύτῃ πορθμὸν τοῦ
having-granted to-him also to-bridge the there strait —
Κέρατος ἀπό γε τῶν Κεραμικῶν μέχρι τοῦ πέραν καὶ
of-Horn from at-least — Keramika as-far-as the across and
καταντικρὺ τούτων ὄντος τείχους τῆς πόλεως· ἔγνωστο
opposite these being wall of-the city it-had-been-resolved
γὰρ αὐτῷ καὶ ταύτῃ διαβιβάσαι ὁπλίτας τε καὶ τοξότας,
for by-him also there to-take-across hoplites both and archers
ὡς ἂν πανταχόθεν προσβάλλοι τῇ πόλει, καὶ ἀκριβῆ τὴν
so-that — from-all-sides he-might-attack the city and exact the
πολιορκίαν ποιοῖτο. Καρατζίᾳ δὲ τῷ τῆς Εὐρώπης ἐπάρχῳ
siege might-make to-Karaca and the — of-Europe governor
καὶ ἑτέροις τῶν σατραπῶν τὸ ἀπὸ τῆς Ξυλίνης πύλης
and to-others of-the satraps the(-part) from — Wooden gate
ἀνιόντι μέχρι τῶν βασιλείων τοῦ Πορφυρογεννήτου καὶ
going-up as-far-as the palaces — of-Porphyrogennetos and
φθάνοντι μέχρι τῆς ὀνομαζομένης πύλης τῆς Χαρισοῦς
reaching as-far-as the called gate — of-Charisios
ἐγχειρίζει, δοὺς αὐτῷ καί τινας τῶν μηχανῶν καὶ
he-entrusts having-given to-him also some of-the engines and
μηχανοποιοὺς παίειν τὸ ταύτῃ τεῖχος, ᾗ ἂν ἀσθενὲς καὶ
engine-makers to-strike the there wall where — weak and
ἐπίμαχον εἴη, καὶ κατασείειν αὐτό. Ἰσαάκῳ δὲ τῷ τῆς
assailable it-might-be and to-shake-down it to-Isaac and the —
Ἀσίας ἐπάρχοντι τότε καὶ Μαχουμούτει κόμητι ὄντι τὸ
of-Asia governing then and Mahmud count being the
τηνικαῦτα, ἀνδράσι γενναίοις τε καὶ τῇ κατὰ πόλεμον
at-that-time men noble both and for-the in war
ἐμπειρίᾳ καὶ τόλμῃ θαυμαζομένοις πολλῇ, τὸ ἀπὸ τοῦ
experience and daring admired much the(-part) from —
Μυριανδρίου μέχρι τῶν τῆς Χρυσέας πυλῶν καὶ τῆς ταύτῃ
Myriandrion as-far-as the — of-Golden gates and of-the there

θαλάσσης μέρος ἐπιτρέπει. Αὐτὸς δὲ ὁ βασιλεὺς ξύν γε
sea part he-entrusts himself and the emperor with at-least
τοῖς δυσὶ πασιάδαις τῷ τε Χαλίλῃ καὶ Σαρατζίᾳ τὸ μέσον
the two pashas — both Halil and Saruca the middle
ἐπέχει τῆς πόλεως καὶ τοῦ κατ᾽ ἤπειρον τείχους, καὶ ᾗ
holds of-the city and of-the by mainland wall and where
μάλιστα ἐνόμιζεν ἐπιμαχώτατον εἶναι, ἔχων μεθ᾽ ἑαυτοῦ
most he-thought most-assailable to-be having with himself
τὴν βασιλικὴν αὐλὴν πᾶσαν, λέγω δὴ τοὺς πεζαιτέρους
the royal court all I-mean indeed the foot-soldiers
τε καὶ τοξότας καὶ ὑπασπιστὰς καὶ τὴν ἄλλην περὶ
both and archers and shield-bearers and the other about
αὐτὸν ἴλην, ὃ δὴ τὸ καθαρώτατον ἦν τοῦ στρατοῦ.
him squadron which indeed the purest was of-the army
Ἐκτάξας δὲ οὕτω τὴν κατὰ γῆν στρατιὰν καὶ πανταχόθεν 28.1
having-drawn-up and thus the by land army and from-all-sides
τὸ ταύτῃ τεῖχος ἀσφαλισάμενός τε καὶ περιλαβὼν τῷ
the there wall having-secured both and having-surrounded with-the
στρατῷ, τὸν κατὰ θάλασσαν πόλεμον ἐγχειρίζει Παλτόγλη,
army the by sea war he-entrusts to-Baltoğlu
ἀνδρὶ γενναίῳ τε καὶ τῶν κατὰ θάλασσαν ἐμπείρῳ τε
man noble both and in-the(-things) by sea experienced both
καὶ στρατηγικῷ, ὃν ἡγεμόνα τοῦ ναυτικοῦ παντὸς εἵλετο,
and skilled-in-generalship whom leader of-the navy whole he-chose
καὶ τῆς παραλίας ἁπάσης, Ἀσιανῆς τε καὶ Εὐρωπαίας,
and of-the coast all Asian both and European
σατράπην ὄντα Καλλιουπόλεως· ὃς δὴ τὸ κατὰ θάλασσαν
satrap being of-Kallipolis who indeed the by sea
ἅπαν τεῖχος ταῖς ναυσὶ περιείληφε, ἀπό (τε) τῆς Χρυσέας
whole wall with-the ships surrounded from both — Golden
τοῦ ἄκρου μέχρι (δὴ καὶ) τῶν νεωρίων τοῦ Γαλατᾶ, στάδιά
of-the headland as-far-as indeed also the dockyards — of-Galata stades

που μάλιστα τρία καὶ τεσσαράκοντα, ξὺν γε τῇ ἁλύσει
about most three and forty with at-least the chain
καὶ ταῖς ἐφορμούσαις ταύτῃ ναυσὶ καὶ ὁλκάσιν· οὗ δὴ καὶ
and the lying-at-anchor there ships and merchantmen where indeed also
καθ' ἡμέραν προσβάλλων τὸν πόλεμον ἐποιεῖτο, βουλόμενος
by day attacking the war he-made wishing
τὸν ἔσπλουν βιάσασθαι τοῦ λιμένος, ὡς ἂν καὶ τὸ κατὰ τὸ
the sailing-in to-force of-the harbor so-that — also the by —
Κέρας ἅπαν τεῖχος ἀνοίξῃ πολέμῳ. Ἦν δὲ ὁ περίβολος
Horn whole wall he-might-open by-war was and the circuit
ἅπας τῆς πόλεως ὁ περιληφθεὶς τῷ στρατῷ κατὰ γῆν
whole of-the city the surrounded by-the army by land
τε καὶ θάλασσαν ἀκριβῶς λογιζομένῳ στάδιοί που μάλιστα
both and sea exactly for-one-reckoning stades about most
ἓξ καὶ εἴκοσι πρὸς τοῖς ἑκατόν· ἀπὸ τούτων ἦν ἀφύλακτον
six and twenty besides the hundred of these was unguarded
μόνον τὸ τοῦ Κέρατος τεῖχος τὸ ἐντὸς τῆς ἁλύσεως,
only the — of-Horn wall the(-part) inside the chain
στάδιοι πέντε καὶ τριάκοντα, τὸ δὲ ἄλλο πᾶν ἐφυλάττετο.
stades five and thirty the and other all was-guarded

29.1 Πράξας δὲ οὕτω ταῦτα μετακαλεῖται τοὺς μηχανοποιοὺς
having-done and thus these(-things) he-summons the engine-makers
καὶ κοινολογεῖται τούτοις περί τε τῶν μηχανῶν καὶ
and confers with-them about both the engines and
τοῦ τείχους, ὅπως ἂν ῥᾷστα καθαιρεθείη. Οἱ δὲ
the wall how — most-easily it-might-be-taken-down they and
ὑπισχνοῦνται αὐτῷ ῥᾳδίαν εἶναι τὴν τούτου καθαίρεσιν, εἴ
promise to-him easy to-be the of-it taking-down if
γε πρὸς ταῖς οὔσαις μηχαναῖς (ἦσαν γὰρ αὐτοῖς ἤδη
at-least besides the existing engines there-were for for-them already
καὶ ἕτεραι πρόσθεν πεποιημέναι) καὶ ἑτέραν ποιήσωσι,
also others before made also another they-should-make

τὴν δοκοῦσαν αὐτοῖς ἱκανὴν εἶναι κατασεῖσαι τὸ τεῖχος
the(-one) seeming to-them sufficient to-be to-shake-down the wall
καὶ καθελεῖν, πρὸς ἣν καὶ ἀναλωμάτων πολλῶν καὶ
and to-take-down for which also of-expenses many and
χαλκοῦ πλείστου καὶ ἑτέρων οὐκ ὀλίγων εἰδῶν ἔνεστι χρεία.
of-bronze very-much and of-other not few kinds is need
Καὶ ὃς εὐθὺς, θᾶττον ἢ λόγος, ἅπαντα δαψιλῶς αὐτοῖς
and he at-once quicker than word all lavishly to-them
παρέχει τὰ πρὸς τὴν χρείαν, οἱ δὲ κατασκευάζουσι τὴν
provides the(-things) for the need they and construct the
μηχανὴν, πρᾶγμα φοβερώτατον ἰδεῖν καὶ ἐς ἀκοὴν ὅλως
engine affair most-fearsome to-see and to hearing wholly
ἄπιστόν τε καὶ δυσπαράδεκτον. Λέξω δὲ τὴν κατασκευὴν
incredible both and hard-to-accept I-will-tell and the construction
αὐτῆς καὶ τὸ εἶδος καὶ τὴν ἐνέργειαν, ὡς ἐνόν. Πηλὸς
of-it and the form and the working as possible clay
ἐπαλλάσσετο πολλῶν ἡμερῶν, ὥστε κατεργασθῆναι, γῆς
was-worked of-many days so-as to-be-prepared of-earth
τῆς πιοτάτης τε καὶ καθαρωτάτης καὶ λεπτοτάτης τῇ
the richest both and purest and finest in-the
διαθέσει, λίνῳ τε καὶ κανάβῃ καὶ τοιούτοις τισὶν ἄλλοις
composition with-flax both and hemp and such some other
ξυνδετικοῖς τε καὶ ξυνεκτικοῖς κατακεκερματισμένοις ὅλος
binding both and cohesive chopped-up wholly
διόλου μεμιγμένος καὶ ξυμφυρόμενος, ὡς ἓν σῶμα γίνεσθαι
throughout mixed and kneaded-together so-as one body to-become
τούτοις ξυνεχές τε καὶ ἀδιάσπαστον. Τύπος δ' ἐκ τούτου
with-these continuous both and inseparable mold and from this
κατεσκευάζετο στρογγύλος, αὐλοειδὴς, ἐπιμήκης, οἷος ἐς
was-made round pipe-shaped elongated such-as for
ὀμφαλὸν εἶναι· μῆκος τούτῳ σπιθαμαὶ τετταράκοντα· οὗ
core to-be length to-it spans forty of-which

τὸ μὲν ἔμπροσθεν ἥμισυ, τὸ πρὸς ὑποδοχὴν τοῦ λίθου,
the indeed front half the(-part) for receiving of-the stone
σπιθαμῶν δυοκαίδεκα τὸν κύκλον καὶ τὴν περιφέρειαν εἶχε
of-spans twelve the circle and the circumference had
τοῦ πάχους, τὸ δ' ὄπισθεν ἥμισυ τῆς οὐρᾶς, τὸ πρὸς
of-the thickness the and rear half of-the tail the(-part) for
ὑποδοχὴν τῆς ὀνομαζομένης βοτάνης, σπιθαμῶν τεττάρων
receiving of-the called grass(-powder) of-spans four
ἢ καὶ μικρόν τι πρὸς εἶχε τὴν περιφέρειαν τοῦ πάχους,
or also little something more had the circumference of-the thickness
ὡς πρὸς τὴν ἀναλογίαν, οἶμαι, τοῦ ὅλου. Ἕτερος δὲ
as for the proportion I-think of-the whole another and
τύπος ἐκτὸς πρὸς ὑποδοχὴν τούτου κατεσκευάζετο, κοῖλος
mold outside for receiving of-this was-made hollow
ὅλος διόλου καὶ οἷον θήκη τις εἶναι, εὐρύτερος δὲ μόνον,
wholly throughout and as-it-were case some to-be wider but only
ὥστε δέξασθαι τοῦτον ὅλον αὐτὸς καὶ μετ' ἀποστάσεως·
so-as to-receive this whole itself and with spacing
ἀπόστασις δ' ἦν ἐν τῷ μεταξὺ τοῖν τύποιν ἀμφοῖν ὅλοιν
spacing and was in the between the molds both wholly
διόλου ἐπίσης πάντοθεν ὅσον σπιθαμιαία ἢ καὶ μικρόν
throughout equally on-all-sides as-much-as a-span or also little
τι πρός, ἥτις ἔμελλε δέξασθαι τὸν χαλκὸν εἰσχεόμενον
something more which was-to receive the bronze being-poured-in
ἀπὸ τῆς χωνείας ἐς ἀπαρτισμὸν τοῦ εἴδους τῆς μηχανῆς.
from the furnace for completion of-the form of-the engine
Ὁ δὲ τύπος οὗτος, ὁ ἔξω, φημί, κατεσκευάζετο τῷ
the and mold this the outside I-mean was-made with-the
αὐτῷ πηλῷ· ἦν δὲ ὅλος διόλου διεζωσμένος τε καὶ
same clay was and wholly throughout girded both and
κατησφαλισμένος σιδήρῳ τε καὶ ξύλοις καὶ γῇ καὶ λίθοις
secured with-iron both and timbers and earth and stones

ἔξωθεν ἐπῳκοδομημένος καὶ βοηθούμενος, ἵνα μὴ τὸ
from-outside built-over and supported so-that not the
πολὺ βάρος ἐντὸς ἐμπεσὸν τοῦ χαλκοῦ διαρρήξῃ τοῦτον
great weight within having-fallen of-the bronze should-burst it
καὶ ἄπρακτον ἐργάσηται τὸ εἶδος τῆς μηχανῆς.
and useless should-make the form of-the engine
Ἰπνοὶ δὲ δύο σύνεγγυς τούτων ἀμφοτέρωθεν κατεσκευάζοντο
furnaces and two near these on-both-sides were-built
εἰς χωνείας, ἰσχυρότατοι μέντοι καὶ βεβαιότατοι, τὰ
for smelting strongest however and most-secure the(-parts)
μὲν ἔνδον ἐξ ὀπτῆς πλίνθου κατειργασμένοι καὶ πηλοῦ
indeed inside of baked brick worked and of-clay
καλῶς εἰργασμένου καὶ πιοτάτου, τὰ ἔξωθεν δὲ
well worked and richest the(-parts) outside and
ὅλοι διόλων λίθοις παμμεγέθεσι καὶ τιτάνῳ καὶ πᾶσιν
wholly throughout with-stones huge and with-lime and all
ἄλλοις ὠχυρωμένοι πρὸς τοῦτο χρησίμοις. Χαλκοῦ δὲ
others fortified for this useful(-things) of-bronze and
καὶ κασσιτέρου πολύ τι χρῆμα καὶ πολυτάλαντος ὁλκὴ
and of-tin great some quantity and many-talented weight
ἐνεβέβλητο χωνείαις, τάλαντά που μάλιστα χίλια καὶ
had-been-put-in in-the-furnaces talents about most thousand and
πεντακόσια, ὡς ἐλέγετο· ἐπὶ τούτοις ἀνθράκων τε πολύ τι
five-hundred as was-said on these of-charcoal both great some
πλῆθος καὶ κορμῶν ἐπετίθετο ταῖς χωνείαις ἔξωθεν, ὥσπερ
multitude and of-logs was-placed on-the furnaces from-outside as-if
ἐπῳκοδομημένα ἄνωθέν τε καὶ κάτωθεν καὶ πανταχόθεν
built-over from-above both and from-below and from-all-sides
ἐς βάθος τοὺς ἰπνοὺς ξυγκαλύπτοντα, ἄνευ μέντοι γε
to depth the furnaces covering without however at-least
τῶν στομίων. Φυσητῆρες δὲ περὶ αὐτοὺς ἐπιτεταμένως
the mouths bellows and around them intensely

φυσῶντες καὶ ἀδιακόπως τὴν ἐπικειμένην ὕλην ἐξάπτοντες
blowing and unceasingly the laid-on material kindling
ἐν τρισὶν ὅλαις ἡμέραις καὶ νυξὶν ἴσαις, ἕως ὁ χαλκὸς ὅλος
in three whole days and nights equal until the bronze wholly
διόλου τακεὶς καὶ διαλυθεὶς ὑδαρώδης καὶ ῥυτὸς γένηται.
throughout melted and dissolved watery and flowing become
Εἶτα τῶν στομίων ἀνοιγέντων, ἐσεχεῖτο ὁ χαλκὸς διὰ
then the mouths having-been-opened was-poured-in the bronze through
τῶν σωλήνων ἐν τοῖς τύποις, ἕως γεμισθῇ τελείως ἅπαν τὸ
the channels into the molds until be-filled completely all the
ἐσδεχόμενον, καὶ καλύψῃ καὶ τὸν ἐντὸς τύπον ὅλον διόλου
receiving(-space) and cover also the inside mold wholly throughout
καὶ ὑπερβλύσῃ τούτου πῆχυν ἕνα κατὰ τὸ ἄνω. Καὶ οὕτως
and overflow it cubit one at the top and so
ἤδη ἀπήρτιστο ἡ μηχανή. Μετὰ τοῦτο δὲ, ἀποζέσαντος
already was-completed the engine after this and having-cooled-down
τοῦ χαλκοῦ καὶ ψυχροῦ γεγονότος, ἐκαθαίρετο τῶν ἐντὸς
the bronze and cold having-become it-was-cleared of-the inside
τύπων καὶ τῶν ἐκτὸς, καὶ ξυομένη καὶ γλυφομένη ξυστῆρσιν,
molds and of-the outside and scraped and carved with-scrapers
ἐλαμπρύνετο ὅλη διόλου. Καὶ τοιαύτη μὲν ἡ κατασκευὴ
was-polished whole throughout and such indeed the construction
καὶ τὸ εἶδος τῆς μηχανῆς· λέξω δὲ καὶ τὴν ἐνέργειαν.
and the form of-the engine I-will-tell and also the working
30.1 Ἐνεβέβλητο πρῶτον ἡ καλουμένη βοτάνη, πληροῦσα
had-been-put-in first the called grass(-powder) filling
ἰσχυρῶς τὴν ὄπισθεν ὅλην χωνείαν καὶ τὸν αὐλὸν τῆς
strongly the rear whole cavity and the pipe of-the
μηχανῆς ἕως τοῦ στομίου τοῦ δευτέρου αὐλοῦ τοῦ
engine up-to the mouth of-the second pipe the(-one)
δεξομένου τὸν λίθον. Ἔπειτα τῷ στόματι τούτῳ
going-to-receive the stone then into-the mouth this

πάσσαλος ἐνεβέβλητο μεγίστη ξύλου τοῦ ἰσχυροτάτου, ἣ
a-plug had-been-put very-large of-wood the strongest which
σιδηροῖς μοχλοῖς τυπτομένη βιαίως ὠθεῖτο, στενοχωρουμένη
with-iron bars being-struck violently was-pushed being-squeezed
the mouth and of-the harbor and the chain merchantmen both and
τριήρεις καὶ αἱ ἄλλαι νῆες ἐν τῷ λιμένι φυλακῆς ἤδη μᾶλλον
triremes and the other ships in the harbor of-guard already more
ἐδέοντο πλείονος, ἔνδοθέν τε καὶ ἔξωθεν πολεμούμεναι.
needed greater from-within both and from-without being-warred-against
Πολλαχόθεν οὖν αὐτοῖς ἄπορα ἦν τε καὶ ἐδόκει, πλήν
from-many-sides then for-them hopeless were both and seemed except
γε δὴ οὐκ ἠμέλουν ἐκ τῶν ἐνόντων τῶν δυνατῶν.
at-least indeed not they-neglected from the available the possible(-things)
44.1 Ἰουστῖνος γὰρ, ἄρας μίαν τῶν ὁλκάδων αὐτοῦ ἀπὸ
Giustiniani for having-taken one of-the merchantmen his from
τοῦ στόματος τοῦ λιμένος καὶ τῶν Ἰταλικῶν τριήρεων
the mouth of-the harbor and of-the Italian triremes
τρεῖς, ἐπάγει κατὰ τὸ στόμα τοῦ κόλπου, οὗ ἐφώρμουν
three brings-up to the mouth of-the gulf where lay-at-anchor
αἱ νῆες τοῦ βασιλέως, καὶ ὁρμίζει αὐτοῦ, ἵν' ἀπ' αὐτῶν
the ships of-the emperor and anchors there so-that from them
ποιοῖτο τὸν πόλεμον, καὶ κατείργῃ τὰς πολεμίας ναῦς ἐν
he-might-make the war and might-shut-in the hostile ships in
τῷ κόλπῳ, μηδαμοῦ διεκθεούσας ἢ βλάπτειν δυναμένας τόν
the gulf nowhere running-out or to-harm being-able the

τε λιμένα καὶ τὰ ἐν αὐτῷ σκάφη. Καὶ ἔδοξε τοῦτο ἀρίστη
both harbor and the in it vessels and seemed this best
βουλὴ καὶ ἀντιτέχνησις, πρὸς καιρὸν μέντοι. Μεχέμετις γὰρ
counsel and counter-contrivance for a-time however Mehmed for
ὁ βασιλεὺς τοῦτο γνοὺς ἀντιτεχνᾶται τοιόνδε. Κελεύει
the emperor this having-learned counter-contrives such(-a-thing) he-orders
τοὺς μηχανοποιοὺς νυκτὸς ἀπαγαγόντας λάθρα τὰς μηχανὰς
the engine-makers by-night having-led-away secretly the engines
θεῖναι παρὰ τὸν αἰγιαλὸν ἀντικρὺ οὗ ἐφώρμουν αἱ νῆες
to-set along the shore opposite where lay-at-anchor the ships
καὶ ἡ ὁλκὰς, καὶ ἀφεῖναι τοὺς λίθους κατ᾽ αὐτῶν. Οἱ
and the merchantman and to-let-fly the stones against them they
δὲ θᾶσσον τοῦτο ποιήσαντες, βάλλουσι μίαν τῶν τριήρεων
and quicker this having-done hit one of-the triremes
κατὰ μέσον καὶ καταδύουσιν αὔτανδρον πλὴν ὀλίγων
in middle and sink(-it) with-its-crew except few
πάνυ ἀπονηξαμένων ἐς τὰς ἄλλας τριήρεις, καὶ οἱ ἐν
very having-swum-away to the other triremes and the(-ones) in
αὐταῖς ὄντες εὐθὺς ἀπάγουσί τε αὐτὰς ὡς πορρωτάτω καὶ
them being at-once lead-away both them as farthest and
ὁρμίζουσιν· εἰ γὰρ μὴ τοῦτο τάχος ἐγεγόνει, κατεδύοντ᾽
anchor if for not this quickly had-happened would-have-been-sunk
ἂν αἱ τριήρεις αὔτανδροι καὶ ἡ ὁλκὰς, μηδ᾽ αἴσθησιν
— the triremes with-their-crews and the merchantman not-even perception
γοῦν ἡντινοῦν τοῦ κακοῦ σχοῦσαι· οὕτως ἦσαν ἐγγὺς
at-any-rate any of-the evil having-had so they-were near
τοῦ διαφθαρῆναι, τῶν μηχανῶν ἑτοίμων οὐσῶν ἀφεῖναι
to-the to-be-destroyed the engines ready being to-let-fly
τοὺς λίθους κατ᾽ αὐτῶν. Ῥωμαῖοι μέντοι καὶ τούτου
the stones against them Romans however also of-this
διαμαρτόντες οὐκ εἶχον ὅ τι γε ἕτερον διαπράξονται,
having-failed not had what thing at-least other they-will-accomplish

μηχαναῖς δὲ μόνον πετροβόλοις ἀπὸ τοῦ τείχους καὶ
with-engines and only stone-throwing from the wall and
βέλεσιν ἔβαλλον τὰς ναῦς καὶ ἀνεῖργον ὅποι παρήκοι
with-missiles they-hit the ships and held-back wherever it-reached
διεκθεούσας. Ἐπεξέθεον δὲ καὶ τριήρεις τῶν ἀπὸ τοῦ
running-out sallied and also triremes of-the(-ones) from the
στόματος τοῦ λιμένος, καθ' ἡμέραν διώκουσαί τε αὐτὰς
mouth of-the harbor by day pursuing both them
καὶ ἀνείργουσαι τοῦ μή τι βλάπτειν ἐν τῷ λιμένι,
and holding-back from-the not anything to-harm in the harbor
πολλάκις δὲ καὶ μέχρι πρὸς τὴν γῆν ἐποκέλλουσαι πρὸς
often and also as-far-as to the land running-aground toward
τοὺς ἑαυτῶν, αἱ δὲ πάλιν ὑπέστρεφον, ἀναστρεφουσῶν
the(-men) of-themselves they and again turned-back turning-round
τῶν τριήρεων, καὶ παρὰ πόδας ἠκολούθουν, βάλλουσαι
the triremes and at feet followed shooting
καὶ βαλλόμεναι· καὶ οὕτω ἠκροβολίζοντο καθ' ἡμέραν.
and being-shot and so skirmished by day
45.1 Κατὰ δὲ τὰς αὐτὰς ἡμέρας ξυνηνέχθη καὶ τάδε, ἅπερ
in and the same days happened also these(-things) which
θεοσημεῖαί τινες ἦσαν καὶ προφοιβασμοὶ τῶν ἐσομένων
divine-signs some were and foretellings of-the going-to-be
ὅσον οὐ τῇ πόλει δεινῶν. Πρὸ γὰρ τριῶν ἢ τεττάρων
all but for-the city terrors before for three or four
ἡμερῶν τοῦ πολέμου θεοκλητούντων πάντων τῶν ἐν τῇ
days of-the war calling-on-God all the in the
πόλει ἀνδρῶν ὁμοῦ τε καὶ γυναικῶν, καὶ περιερχομένων
city men together both and women and going-around
αὐτὴν μετὰ τῆς εἰκόνος τῆς θεομήτορος, αὖτη τῶν χειρῶν
it with the icon of-the mother-of-God it from-the hands
αἴφνης ἐκπεσοῦσα τῶν κατεχόντων, μηδεμιᾶς ἡστινοσοῦν
suddenly having-fallen of-the(-ones) holding(-it) no whatever

ἀνάγκης ἢ βίας ἡγησαμένης, πρηνὴς ἔπεσεν ἐπ᾽ ἔδαφος.
necessity or force having-led prone fell on ground
Πάντων οὖν ἀναβοησάντων εὐθὺς καὶ ξυνδεδραμηκότων
all then having-cried-out at-once and having-run-together
ἐς ἀνάστασιν τῆς εἰκόνος, αὖτη μᾶλλον ἐβρίθη κάτω
for raising of-the icon it more was-weighed down
μολύβδου δίκην βαρυνομένη, ὥσπερ ἐνισχημένη τῷ ἐδάφει,
of-lead like being-heavy as-if held-fast to-the ground
καὶ ὅλως δυσαπόσπαστος ἦν. Καὶ τοῦτο ἐφ᾽ ἱκανὴν ὥραν
and wholly hard-to-tear-away was and this for sufficient hour
ἐγίνετο, ἕως οὗ μετὰ βίας πολλῆς καὶ κραυγῆς μεγάλης
went-on until which with force much and shouting great
καὶ δεήσεως πάντων οἵ τε ἱερεῖς καὶ βαστάζοντες μόλις
and entreaty of-all the both priests and bearers scarcely
ἀνέστησάν τε αὐτὴν καὶ τοῖς τῶν φερόντων ὤμοις
raised both it and on-the of-the(-ones) carrying shoulders
ἐπέθεσαν. Τοῦτο παρὰ δόξαν γεγονὸς φρίκην τε πολλὴν
placed this against expectation having-happened shuddering both much
καὶ ἀγωνίαν μεγίστην καὶ φόβον πᾶσιν ἐνέβαλεν· ἐνόμιζον
and anguish greatest and fear into-all threw they-thought
γὰρ, ὥσπερ δὴ καὶ ἦν, ἐπ᾽ οὐδενὶ ξυμβόλῳ χρηστῷ
for as indeed also was(-so) on no omen good
τὴν πτῶσιν ταύτην γενέσθαι. Ἔπειτα δὲ οὐκ ἔφθησαν
the fall this to-have-happened then and not they-forestalled
μικρὸν προβάντες, καὶ εὐθὺς μετὰ τοῦτο, μεσημβρίας οὔσης
a-little having-advanced and at-once after this midday being
σταθερᾶς, βρονταὶ πολλαὶ καὶ ἀστραπαὶ κατερράγησαν
steady thunders many and lightnings broke-out
μετὰ νέφους, καὶ ὗσέ γε λάβρον ὑετὸν μετὰ χαλάζης
with cloud and it-rained at-least violent rain with hail
σφοδροτάτης, ὥστε μὴ δύνασθαι ἀντέχειν ἢ προβαίνειν
most-violent so-as not to-be-able to-hold-out or to-advance

ἔτι τούς τε ἱερεῖς καὶ φέροντας τὴν εἰκόνα καὶ τὸ πλῆθος
any-longer the both priests and bearers the icon and the crowd
τῶν ἀκολούθων, τῇ φορᾷ τῶν καταφερομένων ὑδάτων καὶ
of-the followers by-the rush of-the down-pouring waters and
τῇ βίᾳ τῆς χαλάζης βαρυνομένους τε καὶ κωλυομένους.
by-the force of-the hail weighed-down both and hindered
Πολλὰ δὲ καὶ τῶν ἑπομένων παιδαρίων ἐκινδύνευσε
many and also of-the following little-children were-in-danger
παρασυρῆναί τε καὶ ἀποπνιγῆναι, τῇ σφοδρᾷ καὶ βιαίᾳ
to-be-swept-away both and to-be-drowned by-the violent and forceful
ῥύμῃ τῶν ὑδάτων παραφερόμενα, εἰ μὴ ἄνδρες εὐθὺς
rush of-the waters carried-along if not men at-once
δραττόμενοι μόγις αὐτὰ τῆς φορᾶς τούτων ἐξήρπαζον·
grasping(-them) scarcely them from-the rush of-these snatched
οὕτω παράλογόν τι καὶ ἄηθες ἦν τὸ χρῆμα τοῦ
so unexpected something and unaccustomed was the matter of-the
ὑετοῦ καὶ τῆς χαλάζης ἐκείνης, ὅπερ ἐδήλου πάντως τὴν
rain and of-the hail that which showed wholly the
ταχίστην τῶν ὅλων ἀπώλειαν, καὶ ὅτι χειμάρρου δίκην καὶ
quickest of-the whole destruction and that of-torrent like and
σφοδροτάτων ὑδάτων ἅπαντα οἰχήσεται καὶ παρασυρήσεται.
of-most-violent waters all will-be-gone and will-be-swept-away

46.1 Καὶ τῇ μὲν προτέρᾳ ταῦτα ἐγένετο, τῇ δ' ὑστεραίᾳ
and on-the indeed former(-day) these(-things) happened on-the and next(-day)
ἕωθεν νέφος βαθὺ τὴν πόλιν πᾶσαν περιεκάλυψεν ἀπὸ
at-dawn cloud deep the city whole covered from
πρωίας βαθείας ἕως ἑσπέρας. Τοῦτο πάντως ἐδήλου τὴν
morning deep until evening this wholly showed the
ἀποδημίαν τοῦ θείου καὶ ἀναχώρησιν ἐκ τῆς πόλεως ἢ τὴν
departure of-the divine and withdrawal from the city or the
τελείαν ταύτης ἐγκατάλειψιν καὶ ἀποστροφήν· νέφει γὰρ τὸ
complete of-it abandonment and turning-away by-cloud for the

θεῖον κρυπτόμενον καὶ παραγίνεται καὶ πάλιν ἀπέρχεται. Καὶ
divine hidden both comes and again departs and
ταῦτα μὲν οὕτω. Καὶ ἀπιστείτω μηδείς· πλεῖστοι γὰρ οἱ
these(-things) indeed thus and let-disbelieve no-one very-many for the
τούτων μάρτυρές τε καὶ θεαταὶ τῶν τε ξένων καὶ ἀστῶν.
of-these witnesses both and spectators of-the both foreigners and citizens
Βασιλεὺς δὲ Μεχέμετις, ἐπειδή οἱ πάντα ἦν εὐτρεπῆ καὶ 47.1
emperor and Mehmed since for-him all was ready and
οὐδὲν ἐμποδὼν ἔτι (τό τε γὰρ τεῖχος τό τε ἐντὸς
nothing in-the-way any-longer the both for wall the(-one) both inside
τό τε ἐκτὸς ταῖς μηχαναῖς κατήρριπτο μέχρις ἐδάφους,
the(-one) both outside by-the engines had-been-hurled-down to ground
ἥ τε τάφρος ἐχώσθη πᾶσα, τό τε Κέρας καὶ τὸ κατ᾽ αὐτὸ
the both ditch was-filled all — both Horn and the along it
τεῖχος ἅπαν λαμπρῶς ἠνοίγη τῷ πολέμῳ, καὶ ἀκριβὴς ἦν
wall all brilliantly was-opened to-the war and exact was
ἡ πολιορκία πανταχόθεν τῇ πόλει, αἵ τε κλίμακες καὶ οἱ
the siege from-all-sides on-the city the both ladders and the
ξύλινοι πύργοι καὶ τὰ ἄλλα πάντα καλῶς ἡτοίμαστο, ὅ τε
wooden towers and the other all(-things) well had-been-prepared the both
χρόνος τῆς πολιορκίας ἱκανὸς ἦν· ἡμέραι γὰρ δὴ παρεῖλκον
time of-the siege sufficient was days for indeed dragged-on
αὐτῇ ἐγγύς που πεντήκοντα, καὶ δέος ἦν μή πού τι
for-it near somewhere fifty and fear was lest somehow something
καὶ νεοχμώσῃ ἢ καὶ βοήθειά τίς ποθεν ἀπὸ θαλάσσης
also might-bring-new or also help some from-somewhere from sea
φανείη· ἤδη γὰρ ἐπυνθάνετο καὶ τὸν ἐν Χίῳ ἀπόστολον
might-appear already for he-learned also the in Chios expedition
τῶν Ἰταλικῶν νεῶν), δεῖν ἔγνω μηκέτι διαμέλλειν, μηδὲ
of-the Italian ships to-be-needful he-resolved no-longer to-delay nor
τοῦ λοιποῦ μενετέα οἱ εἶναι, ἀλλὰ πολεμητέα ἐν τάχει,
for-the rest must-wait for-him to-be but must-make-war in speed

καὶ ἐπιχειρητέα τῇ πόλει πάσῃ σπουδῇ καὶ δυνάμει κατά τε
and must-attempt the city with-all zeal and power by both
γῆν καὶ θάλασσαν προσβάλλοντι, καὶ πεῖραν ταύτην αὐτῇ
land and sea attacking and trial this on-it
μεγίστην τε καὶ τελευταίαν προσενεγκεῖν. Ξυγκαλέσας
greatest both and last to-bring-against having-called-together
οὖν πάντας τοὺς ἐν τέλει τε καὶ περὶ αὐτὸν, σατράπας
then all the(-ones) in office both and about him satraps
τέ φημι καὶ στρατηγοὺς καὶ ἰλάρχας καὶ ταγματάρχας
both I-mean and generals and squadron-leaders and battalion-commanders
καὶ ἡγεμόνας τῶν τάξεων, ἔτι δὲ χιλιάρχους τε
and leaders of-the ranks further and commanders-of-thousands both
καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους τό τε ἄγημα
and centurions and commanders-of-fifty the both guard
τοῦ στρατοῦ καὶ τὴν περὶ αὐτὸν πᾶσαν ἴλην καὶ πρὸς
of-the army and the about him all squadron and besides
τούτοις ναυάρχους τε καὶ τριηράρχους καὶ τὸν ἡγεμόνα
these admirals both and trierarchs and the leader
τοῦ στόλου παντὸς, καὶ ξύλλογον ποιήσας ἔλεξε τοιάδε.
of-the fleet whole and assembly having-made be-spoke such(-words)

48.1 “Ἄνδρες φίλοι καὶ τοῦ παρόντος ἀγῶνος ἐμοὶ
men friends and of-the present contest with-me
κοινωνοί, ἐγὼ ὑμᾶς ἐνθάδε ξυνεκάλεσα οὐ ῥᾳθυμίαν τινὰ
partners I you here called-together not slackness any
καταγνοὺς ὑμῶν ἢ ἀμέλειαν ἐς τόδε τὸ ἔργον, οὐδ’
having-charged-against you or neglect for this the work nor
ἵνα προθυμοτέρους ἐς τὸν παρόντα ἀγῶνα ποιήσω·
so-that more-eager for the present contest I-might-make
πάλαι γὰρ ὁρῶ τοὺς μὲν ὑμῶν τοσαύτῃ προθυμίᾳ καὶ
long-since for I-see the(-ones) indeed of-you such eagerness and
σπουδῇ περὶ τὸ ἔργον κεχρημένους, ὡς πᾶν ὁτιοῦν
zeal about the work having-used as everything whatever

ἂν μᾶλλον ἑλομένους παθεῖν ἢ ἀπράκτους τῶν
— rather having-chosen to-suffer than unsuccessful from-the(-things)
ὧδε ἀναχωρῆσαι, τοὺς δὲ οὐ μόνον αὐτοὺς, ἀλλὰ καὶ
here to-withdraw the(-ones) and not only themselves but also
τοὺς ἄλλους παροξύνοντας, πάσῃ δυνάμει πρὸς τὸ ἔργον
the others urging-on with-all power to the work
χωρεῖν· οὐ τοίνυν διὰ τοῦτο ὑμᾶς ξυνεκάλεσα, ἀλλ᾽
to-go not therefore because-of this you I-called-together but
ὥστε μόνον ἀναμνῆσαι, πρῶτον μὲν ὡς καὶ τὰ παρόντα
so-as only to-remind first indeed that also the present
ἀγαθὰ, ἃ ἔχετε, οὐ ῥαθυμοῦντες καὶ ἀμελοῦντες, ἀλλὰ
goods which you-have not being-slack and neglecting but
καὶ σφόδρα πονοῦντες καὶ μετὰ μεγάλων ἀγώνων τε καὶ
also exceedingly toiling and with great contests both and
κινδύνων μεθ᾽ ἡμῶν ἐκτήσασθε καὶ ἄθλα τῆς ὑμῶν αὐτῶν
dangers with us you-acquired and prizes of-the your own
ἀρετῆς καὶ ἀνδρίας ἔχετε μᾶλλον ἢ τύχης δῶρα· ἔπειτα
virtue and courage you-have rather than of-fortune gifts then
δὲ, ὡς καὶ τὰ νῦν τά τε προκείμενα ἄθλα διδάξαι
and that also the(-prizes) now the both proposed prizes to-teach
ὑμᾶς ὅσα καὶ οἷά ἐστι, καὶ τὴν δόξαν ὁπόσην ἔχει
you how-many and what-sort are and the glory how-much it-has
μετὰ τοῦ κέρδους καὶ τιμὴν, καὶ ἅμα ἵνα γνῶτε
with the gain and honor and at-once so-that you-may-know
καλῶς ἐπὶ μεγίστοις ποιούμενον τὸν ἀγῶνα. Πρῶτον
well for greatest(-things) being-made the contest first
μὲν γὰρ πλοῦτός τέ ἐστι πολὺς καὶ παντοδαπὸς ἐν τῇδε
indeed for wealth both is much and of-every-kind in this
τῇ πόλει, ὁ μὲν ἐν τοῖς βασιλείοις, ὁ δὲ
the city the(-wealth) indeed in the palaces the(-wealth) and
ἐν τοῖς οἴκοις τῶν δυνατῶν, ὁ δὲ ἐν τοῖς τῶν
in the houses of-the powerful the(-wealth) and in the(-houses) of-the

ἰδιωτῶν, ὁ δὲ καλλίων καὶ μείζων ἐν τοῖς ἱεροῖς
private-men the(-wealth) and finer and greater in the sacred(-places)
ἀποκείμενος ἀναθημάτων καὶ κειμηλίων παντοίων ἐκ
stored-up of-offerings and of-treasures of-all-kinds of
χρυσοῦ καὶ ἀργύρου κατεσκευασμένων, λίθων τε τιμίων
gold and silver made of-stones both precious
καὶ μαργάρων πολυτελῶν, ἐπίπλων τε ἄπειρόν τι χρῆμα
and of-pearls costly of-furnishings both boundless some quantity
λαμπρῶν, ἄνευ δὴ τῆς ἄλλης κατ᾽ οἶκον κατασκευῆς
brilliant without indeed the other in house equipment
καὶ περιουσίας· ὧν ἁπάντων ὑμεῖς ἔσεσθε κύριοι· ἔπειτα
and abundance of-which all you will-be lords then
ἄνδρες ἀγαθοὶ πλεῖστοί τε καὶ τῶν εὖ γεγονότων, ὧν
men good very-many both and of-the well born of-whom
οἱ μὲν δουλεύσουσιν ὑμῖν, οἱ δὲ ἐς ἀπόδοσιν
the(-ones) indeed will-serve you the(-ones) and for ransom
ἔσονται, γυναῖκές τε πλεῖσται καὶ κάλλισται, νέαι καὶ
will-be women both very-many and most-beautiful young and
ἀγαθαὶ τὰς ὄψεις, καὶ παρθένοι πρὸς γάμον ὡραῖαι
good in-the looks and maidens for marriage ripe
εὐγενεῖς τε καὶ ἐξ εὐγενῶν, καὶ ἀρρένων ὀφθαλμοῖς ἔτι
noble both and from nobles and of-males to-eyes still
καὶ νῦν ἄβατοι ἔνιαι τούτων καὶ πρὸς γάμους ὁρῶσαι
even now untrodden some of-these and to marriages looking
ἐπιφανῶν καὶ μεγάλων ἀνδρῶν, ὧν αἱ μὲν ἔσονται
of-illustrious and great men of-whom the(-ones) indeed will-be
ὑμῖν ἐς γυναῖκας, αἱ δὲ πρὸς θεραπείαν ἀρκέσουσιν,
for-you as wives the(-ones) and for service will-suffice
αἱ δὲ πρὸς ἀπόδοσιν, καὶ κερδανεῖτε κατὰ πολλὰ ἔς
the(-ones) and for ransom and you-will-gain in many(-ways) for
τε ἀπόλαυσιν ὁμοῦ καὶ θεραπείαν καὶ πλοῦτον· καὶ παῖδες
both enjoyment together and service and wealth and children

ὁμοίως πλεῖστοι καὶ κάλλιστοι καὶ τῶν εὖ γεγονότων,
likewise very-many and most-beautiful and of-the well born
ἔτι δὲ νεῶν τε κάλλη καὶ δημοσίων οἰκοδομημάτων,
further and of-temples both beauties and of-public buildings
καὶ οἰκίαι λαμπραὶ καὶ παράδεισοι καὶ τοιαῦτα πολλὰ ἔς
and houses brilliant and gardens and such many(-things) for
τε θέαν ὁμοῦ καὶ τέρψιν καὶ ἡδονὴν καὶ ἀπόλαυσιν ἱκανά.
both sight together and delight and pleasure and enjoyment sufficient
Καὶ τί δεῖ ταῦτα πάντα καταλέγοντα διατρίβειν;
and why must-one these(-things) all listing spend-time
πόλιν μεγάλην καὶ πολυάνθρωπον, βασίλειόν τε τῶν πάλαι
city great and populous royal-seat both of-the ancient
Ῥωμαίων, καὶ ἐς ἄκρον εὐδαιμονίας καὶ τύχης καὶ δόξης
Romans and to height of-prosperity and fortune and glory
ἐλάσασαν, κεφαλήν τε γεγενημένην τῆς οἰκουμένης ἁπάσης
having-driven head both having-become of-the inhabited-world whole
δίδωμι νῦν ὑμῖν ἐς διαρπαγήν τε καὶ λείαν, πλοῦτον
I-give now to-you for plunder both and booty wealth
ἄφθονον, ἄνδρας, γυναῖκας, παῖδας, πάντα τὸν ἄλλον αὐτῆς
abundant men women children all the other its
κόσμον καὶ τὴν κατασκευήν· ὧν ἁπάντων ἐμφορηθήσεσθε
adornment and the equipment with-which all you-will-be-filled
ὥσπερ ἐν εὐωχίᾳ λαμπρᾷ, καὶ ἐνευδαιμονήσετε τούτοις ὑμεῖς
as at feast brilliant and you-will-prosper in-these you
τε, καὶ τοῖς ὑμετέροις παισὶ πλοῦτον πολὺν καταλείψετε,
both and to-the your children wealth much you-will-leave
καὶ τὸ μέγιστον, ὅτι πόλιν τοιαύτην αἱρήσετε, ἧς τὸ
and the greatest that city such you-will-take of-which the
κλέος πᾶσαν ἐπῆλθε τὴν οἰκουμένην· καὶ δῆλον ὅτι ἐς
fame all has-gone-over the inhabited-world and clear that to
ὅσον ἔδραμεν ἡ ταύτης ἡγεμονία καὶ δόξα, ἐς τοσοῦτον
as-much ran the of-it hegemony and glory to so-much

καὶ τὸ ὑμῶν κλέος ἀφίξεται τῆς ἀνδρίας καὶ ἀρετῆς, πόλιν
also the your fame will-reach of-the courage and virtue city
τοιαύτην ἑλόντων ἐκ προσβολῆς. Καὶ σκοπεῖτε τίς εὐπραξία
such having-taken by assault and consider what good-fortune
λαμπροτέρα ἢ τίς ἡδονὴ μείζων ἢ τίς πλούτου περιουσία
more-brilliant or what pleasure greater or what of-wealth abundance
καλλίων ἢ ἡ μετὰ τιμῆς καὶ δόξης προσέσται ἡμῖν;
finer than the(-one) with honor and glory will-be-present to-us
Τὸ δὲ δὴ μεῖζον πάντων, ὅτι πόλιν ἐχθρῶς ἔχουσαν ἡμῖν
the and indeed greater of-all that city hostilely disposed to-us
ἐξ ἀρχῆς καὶ ἀεὶ ἐπιφυομένην τοῖς ἡμετέροις κακοῖς
from beginning and always growing-upon the our evils
καὶ πάντα τρόπον ἐπιβουλεύουσαν τὴν ἡμετέραν ἀρχὴν
and in-every way plotting-against the our rule
καθαιρήσομεν, καὶ τοῦ λοιποῦ αὐτοί τε βέβαια ἕξομεν
we-will-destroy and for-the future ourselves both securely will-have
τὰ παρόντα ἀγαθὰ, καὶ ἐν εἰρήνῃ βαθείᾳ καὶ ἀσφαλείᾳ
the present goods and in peace deep and safety
διάξομεν, ἀπαλλαγέντες ἐχθροῦ γειτονήματος, καὶ πρὸς τὰ
will-live having-been-freed from-hostile neighborhood and to the
λοιπὰ θύραν ἀνοίξομεν. Καὶ μήτοι νομίσητε ταῦτα μὲν
rest door will-open and do-not think these(-things) indeed
οὕτως ἔχειν, ἀπόμαχον δὲ εἶναι τὴν πόλιν καὶ τὸ ταύτης
so to-be unassailable but to-be the city and the of-it
τεῖχος δυσπρόσοδόν τε καὶ δύσβατον καὶ κίνδυνον οὐ μικρὸν
wall hard-to-approach both and hard-to-climb and danger not small
ἔχον τοῖς ἐπιοῦσιν, ὡς οὐ ῥᾳδίως ὂν ἁλωτόν· ἀλλ'
having for-the(-ones) attacking as not easily being capturable but
ἰδοὺ γὰρ, ὡς ὁρᾶτε, ἡ μὲν τάφρος πᾶσα ἐχώσθη, τὸ δὲ
behold for as you-see the indeed ditch all was-filled the and
κατὰ γῆν τεῖχος ἐν τρισὶ μέρεσιν οὕτω τοι κατήρριπται,
by land wall in three parts so surely has-been-hurled-down

ὡς μὴ μόνον ὁπλίταις τε καὶ εὐζώνοις ἀνδράσιν, ὥσπερ
as not only for-hoplites both and light-armed men like
ὑμεῖς, ἀλλὰ καὶ ἵπποις αὐτοῖς καὶ ἱππόταις ὡπλισμένοις
you but also for-horses themselves and riders armed
καλῶς ῥᾳδίως εἶναι διαβατόν. Οὕτως οὐ τεῖχος ἀπόμαχον
well easily to-be crossable so not wall unassailable
ὑμῖν, ἀλλὰ πεδίον ἱππάσιμον δίδωμι διαβῆναι ξὺν ὅπλοις."
to-you but plain fit-for-riding I-give to-cross with arms
"Τὰ δὲ τῶν ἀντιτεταγμένων ἡμῖν τί χρὴ καὶ 49.1
the(-things) and of-the(-ones) drawn-up-against us what must-one also
λέγειν; ἄνδρες γάρ εἰσι πάνυ τε ὀλίγοι καὶ οἱ πλείους
to-say men for are very both few and the most
ἄοπλοι καὶ πολέμων ἄπειροι· ὡς γὰρ ἔχω πυνθάνεσθαι
unarmed and of-wars inexperienced as for I-am-able to-learn
τῶν αὐτομόλων, μόλις φασὶ δύο ἢ τρεῖς ἄνδρας εἶναι
from-the deserters scarcely they-say two or three men to-be
τοὺς ἐν τῷ πύργῳ προμαχομένους καὶ ἑτέρους τοσούτους
the(-ones) in the tower fighting-in-front and others as-many
ἐν τῷ μεταπυργίῳ, ὥστε ξυμβαίνειν ἕνα ἄνδρα προπολεμεῖν
in the curtain-wall so-as to-happen one man to-fight-in-front
τε καὶ προμάχεσθαι τριῶν ἢ τεττάρων ἐπάλξεων, καὶ
both and to-fight-before three or four battlements and
τοῦτον ἢ ἄοπλον πάντη ἢ κακῶς ὡπλισμένον. Πῶς
this-man either unarmed wholly or badly armed how
οὖν ἐς τοσοῦτον πλῆθος ἡμῶν ἀρκέσουσιν οὗτοι; καὶ
then against so-great multitude of-us will-suffice these and
μάλιστα ἡμῶν μὲν ἐκ διαδοχῆς ἀγωνιζομένων καὶ ἀεὶ
most of-us indeed by succession contending and always
νεαρῶν ἐπιόντων ἐς τὸ ἔργον, καὶ καιρὸν ἐχόντων καὶ
fresh(-men) coming-on to the work and time having both
ὕπνον αἱρεῖσθαι καὶ σῖτα καὶ ἀναπαύειν αὐτούς, αὐτῶν
sleep to-take and food and to-rest themselves they

δὲ ἀδιακόπως τε καὶ ἐπιτεταμένως μαχομένων ἀεὶ καὶ
but unceasingly both and intensely fighting always and
μηδένα καιρὸν ἐχόντων ἢ ὕπνου ἢ σιτίου ἢ ποτοῦ
no time having either of-sleep or of-food or of-drink
ἢ ἀναπαύλης ἢ ἄλλου του τῶν τοιούτων μεταλαχεῖν,
or of-rest or of-other any of-the such(-things) to-partake
ἡμῶν ἐπικειμένων τε τῷ πολέμῳ καὶ βιαζόντων. Οὐδὲ
us pressing-on both in-the war and forcing not-even
γὰρ ἀκροβολισμοῖς ἔτι χρησόμεθα καὶ ἐπεκδρομαῖς
for in-skirmishes any-longer we-will-use and sallies
καὶ προσβολαῖς καὶ πείραις μόναις, ὥσπερ πρόσθεν,
and attacks and trials alone as before
καθὰ νομίζουσιν, ἀλλ' ἀρξαμένων πολεμεῖν ὁ πόλεμος
as they-think but having-begun to-fight the war
ξυνεχὴς ἔσται καὶ ἀδιάκοπος νύκτωρ καὶ μεθ' ἡμέραν,
continuous will-be and unceasing by-night and by day
μηδεμίαν ἔχων ἀνακωχὴν ἢ ἐκεχειρίαν, ἕως ἂν πέρας
no having truce or armistice until — end
λάβῃ τὰ κατ' αὐτόν· ὥστε νομίζω τούτους τῷ τε
it-take the(-things) concerning it so-that I-think these by-the both
ξυνεχεῖ πολέμῳ καὶ τῷ πόνῳ καὶ τῷ λιμῷ καὶ τῇ
continuous war and by-the toil and by-the hunger and by-the
ἀγρυπνίᾳ καταπιεσθέντας ῥᾳδίως ἐνδώσειν ἡμῖν. Οἱ δὲ
sleeplessness crushed easily will-yield to-us the(-ones) and
ἐπὶ τοῦ κατερριμμένου τείχους τῶν Ἰταλῶν τεταγμένοι,
on the thrown-down wall of-the Italians posted
εἰ καί τῳ δοκοῦσιν ἀπόμαχοι εἶναι καὶ ἱκανοὶ τοὺς
if also to-anyone they-seem unassailable to-be and able the(-ones)
ἐπιόντας ἀμύνεσθαι, ὡς καλῶς τε ὡπλισμένοι καὶ πολέμων
attacking to-ward-off as well both armed and of-wars
ἔμπειροι, καὶ μάλιστα τῶν ἐν τοῖς φρουρίοις, ἀλλ' ἐμοὶ
experienced and most of-the(-wars) in the fortresses yet to-me

καὶ τὰ τούτων ἄπιστα δοκεῖ πάντη καὶ σφαλερά.
also the(-things) of-these untrustworthy seem wholly and precarious
Πρῶτον μὲν γὰρ οὐκ ἐθελήσουσι νοῦν ἔχοντες ὑπὲρ
first indeed for not they-will-wish mind having for
ἀλλοτρίων ἀγαθῶν μάχεσθαι καὶ πονεῖν καὶ ἐς προῦπτον
others' goods to-fight and to-toil and into manifest
κίνδυνον ἐμβάλλειν αὑτοὺς, μηδὲν κερδαίνοντες αὐτοί·
danger to-throw themselves nothing gaining themselves
ἔπειτα ξύγκλυδές τέ εἰσι καὶ ἄλλοι ἄλλοθεν ξυνεληλυθότες,
then a-rabble both are and others from-elsewhere having-come-together
ἐπὶ τὸ λαβεῖν βλέποντες μόνον καὶ ἀπελθεῖν σῶς, οὐκ ἐπὶ
to the to-take looking only and to-depart safe not to
τὸ μαχόμενοι ἀποθανεῖν· ὥστε νῦν μὲν ἀντέχονται πάντως
the fighting to-die so-that now indeed they-hold-out wholly
καὶ μένουσιν, ἐκ διαλειμμάτων ἀκροβολιζομένων καὶ
and remain at intervals skirmishing and
μαχομένων ἡμῶν, ὥσπερ ἐν παιδιᾷ, νομίζοντες τοιούτων
fighting us as in play thinking such
ἡμῶν πειρᾶσθαι καὶ τοῦ λοιποῦ· ὅταν δὲ ἴδωσι τὸν
us to-make-trial-of also for-the rest when but they-see the
πόλεμον περιρρέοντα καὶ πανταχόθεν λαμπρῶς ἐπικείμενον
war flowing-round and from-all-sides brilliantly pressing
καὶ φοβοῦντα καὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἐπαγόμενον,
and terrifying and the death before eyes brought-on
τότε, εὖ οἶδα, μηδὲν μελλήσαντες ὅλως, ῥίψαντες τὰ
then well I-know nothing having-delayed wholly having-thrown-down the
ὅπλα καὶ νῶτα δόντες ἀποδράσουσιν ἀμεταστρεπτί, καὶ
arms and backs having-given they-will-run-away without-turning and
οὐδὲν ἔσται τὸ κωλῦσον αὐτοὺς ἔτι ἢ ἐπισχῆσον
nothing will-be the(-thing) going-to-hinder them any-longer or going-to-check
ὅλως. Εἰ δὲ καὶ παραμένουσι καὶ ὁπωσοῦν (ἔστω γάρ),
at-all if and also they-stay-on and however let-it-be for

ἀλλ᾽ ἡμεῖς αὐτοὺς ῥᾳδίως τρεψόμεθα ῥώμῃ τε καὶ
yet we them easily we-will-rout with-strength both and
ἐμπειρίᾳ καὶ τόλμῃ, ὥστε οὐδὲ τούτων ἡγοῦμαι πάνυ
experience and daring so-that not-even these I-think very
τι ἡμῖν εἶναι πρὸς λόγου ἢ φροντίδος ἄξιον ὅλως.”
at-all to-us to-be of account or of-thought worthy at-all
50.1 “Δείκνυται τοίνυν ἐξ ἁπάντων μεθ᾽ ἡμῶν εἶναι τὴν νίκην
it-is-shown therefore from all with us to-be the victory
καὶ τὴν πόλιν ἡμῖν ἁλωτήν. Πᾶσα γὰρ, ὡς ὁρᾶτε, καθάπερ
and the city for-us capturable all for as you-see as
ἐν σαγήνῃ τινὶ κατά τε γῆν καὶ θάλασσαν ἀποκέκλεισται,
in net some by both land and sea has-been-shut-off
καὶ οὐχ ἔνεστιν αὐτῇ τοῦ λοιποῦ τὰ ἡμέτερα ὅπλα καὶ
and not it-is-possible for-it for-the rest the our arms and
τὰς χεῖρας διαφυγεῖν. Γίνεσθε οὖν ἄνδρες ἀγαθοὶ αὐτοί
the hands to-escape be then men good yourselves
τε ὑμεῖς, καὶ τοὺς μεθ᾽ ὑμῶν πάντας παρακελεύεσθε
both you and the(-ones) with you all urge
ἀκολουθεῖν τε γενναίως ὑμῖν καὶ πάσῃ προθυμίᾳ καὶ σπουδῇ
to-follow both nobly you and all eagerness and zeal
ἐς τὸ ἔργον κεχρῆσθαι, νομίζοντας τοῦ καλῶς πολεμεῖν
for the work to-use considering of-the well to-make-war
τρία εἶναι αἴτια, τό τε ἐθέλειν καὶ τὸ αἰσχύνεσθαι καὶ τὸ
three to-be causes the both to-be-willing and the to-feel-shame and the
τοῖς ἄρχουσι πείθεσθαι· τοῦτο δ᾽ ἐστὶ τὴν ἰδίαν ἕκαστον
the rulers to-obey this and is the own each
τάξιν καλῶς τηρεῖν καὶ μετὰ σιγῆς καὶ κόσμου ἐς τὸ
rank well to-keep and with silence and order to the
ἔργον ἰέναι, ὥστε καὶ τῶν παραγγελλομένων ὀξέως τε
work to-go so-as also the(-things) being-commanded keenly both
ἀκούειν αὐτὸν καὶ ἐς τοὺς ἄλλους ταῦτα διαπορθμεύειν
to-hear himself and to the others these(-things) to-pass-on

ὁμοίως, καὶ ὅτε σιγῶντας ἐπιέναι δέοι, σιγᾶν, καὶ
likewise and when in-silence to-advance it-should-be-needed to-be-silent and
ὁπότε δὲ ἐμβοῆσαι καλὸν καὶ ἐπαλαλάξαι μετὰ κραυγῆς
whenever too to-shout fine and to-raise-the-war-cry with shouting
φοβερωτάτης, τοῦτο ποιεῖν· καὶ γὰρ ὡς τὰ πολλὰ κἀν τοῖς
most-fearsome this to-do and for as the most also-in the
ἄλλοις τῶν πολέμων τοῦτο ξυμφέρει, οὐχ ἥκιστα δὲ ἐς
other(-parts) of-the wars this is-profitable not least and for
τειχομαχίαν· τά τε ἄλλα παραγγέλλετε πᾶσι καλῶς καὶ
wall-fighting the both other(-things) command to-all well and
ἐν κόσμῳ καὶ τάξει πάντα ποιεῖν. Ἀγωνίσασθε οὖν καλῶς
in order and rank all(-things) to-do contend then well
καὶ ἀξίως ὑμῶν τε αὐτῶν καὶ τῶν προειργασμένων
and worthily of-you both yourselves and of-the(-deeds) done-before
ὑμῖν, καὶ μήτε ὑμεῖς μαλακισθῆτε, ὁρῶντες περὶ ὅσων
by-you and neither you be-soft seeing for how-great(-things)
ὑμῖν ἐστιν ὁ ἀγών, μήτε τοῖς ἄλλοις ἐνδῶτε τοῖς μεθ'
for-you is the contest nor to-the others give-way to-the(-ones) with
ὑμῶν. Κἀγὼ δὲ αὐτὸς πρῶτος παρέσομαι τῷ ἔργῳ, μεθ'
you I-too and myself first will-be-present at-the work with
ὑμῶν τε ἀγωνιζόμενος καὶ τῶν ἑκάστῳ δρωμένων
you both contending and of-the(-things) by-each being-done
θεατής. Καὶ νῦν μὲν ἄπιτε παρὰ τὴν ἰδίαν τάξιν ἕκαστος
spectator and now indeed go-away to the own rank each
καὶ σκηνὴν, καὶ δειπνοποιεῖσθε καὶ ἀναπαύεσθε καὶ
and tent and take-supper and rest and
παραγγέλλετε ταῦτα καὶ τοῖς ὑφ' ὑμῖν· ἕωθεν δὲ
command these(-things) also to-the(-ones) under you at-dawn and
ἀναστάντες ἐκτάττετε ἕκαστος τὴν ἑαυτοῦ τάξιν καλῶς
having-risen draw-up each the of-himself rank well
τε καὶ ξὺν κόσμῳ, μηδενὸς αἰσθανομένου τῶν ἔξω ἢ
both and with order no-one perceiving of-the(-ones) outside or

κατακούοντος ὅλως· ταξάμενοι δὲ μένετε σιωπῇ· ἐπὰν
overhearing at-all having-been-drawn-up and remain in-silence when
δὲ ἀκούσητε τῶν πολεμικῶν ᾀδόντων καὶ τὸ ξύνθημα
and you-hear the war-trumpets sounding and the signal
ἴδητε, ἐνταῦθα τὸ ἔργον ὑμέτερον."
you-see then the work yours

51.1 "Καὶ σὺ μὲν, ὦ Χαμουζᾶ, περιπλέων ταῖς ναυσὶ τὸ κατὰ
and you indeed O Hamza sailing-around with-the ships the by
θάλασσαν τεῖχος, ταῖς μὲν τῶν νεῶν ἀνακωχεύων
sea wall with-the(-ones) indeed of-the ships holding-back
εἴσω βελῶν, κέλευε τούς τε τοξότας καὶ τοὺς τὰς
within missiles order the both archers and the(-ones) the
μηχανὰς ἔχοντας ἐν χεροῖν καὶ τοὺς τούφακας βάλλειν
engines having in hands and the muskets to-shoot
ἀπὸ τῶν καταστρωμάτων τοὺς ἐπὶ τῶν ἐπάλξεων οὕτω
from the decks the(-ones) on the battlements so
τοι πυκνῶς, ὡς μηδαμοῦ τούτους προκύπτειν ἐᾶν ἐς τὰ
surely densely as nowhere them to-peer-out to-allow to the
ἔξω ἢ ὅλως ἔχειν κεχρῆσθαι ἑαυτοῖς τῷ πολέμῳ, τὰς
outside or at-all to-be-able to-use themselves in-the war the(-ships)
δὲ ἐποκέλλων εἴ ποι παρείκοι τοῦ τείχους, προσάγειν
and running-aground if somewhere it-should-allow of-the wall to-bring-up
τούτῳ τὰς κλίμακας τοὺς ἐπὶ τούτῳ τεταγμένους, ὥστε
to-it the ladders the(-ones) over this appointed so-as
ἐπιβαίνειν διὰ τούτων πειρᾶσθαι τοὺς ὁπλίτας τοῦ τείχους.
to-climb through these to-try the hoplites the wall
Καὶ οὕτω ἀγωνίζου καλῶς καὶ πειρῶ ἀνὴρ ἀγαθὸς εἶναι.
and so contend well and try man good to-be
Αὐτὸς δὲ, ὦ Ζάγανε, σὺ διαβὰς τὴν γέφυραν ταχέως
yourself and O Zaganos you having-crossed the bridge quickly
πρόσβαλε τῷ τοῦ Κέρατος τείχει μάλα εὐρώστως, ἔχων
attack the — of-Horn wall very stoutly having

μετὰ σεαυτοῦ καὶ τὰς ἐν τῷ λιμένι ναῦς ξυνεφαπτομένας
with yourself also the in the harbor ships taking-part-with
σοι τοῦ ἔργου, καὶ γίνου ἀνὴρ ἀγαθός. Καὶ σὺ δὲ ὁμοίως,
you in-the work and be man good and you too likewise
ὦ Καρατζία, ἔχων τοὺς μετὰ σεαυτοῦ καὶ διαβὰς
O Karaca having the(-ones) with yourself and having-crossed
τὴν τάφρον, πρόσμιγε τῷ κατά σε παρερρηγμένῳ τοῦ
the ditch engage the by you broken(-part) of-the
τείχους, καὶ βιασάμενος τοὺς προμαχομένους ῥωμαλέως
wall and having-forced the front-fighters mightily
πειρῶ ἐπιβαίνειν τούτου, ἀγωνιζόμενος γενναίως ὡς ἀνὴρ
try to-climb it contending nobly as man
ἀγαθός. Καὶ αὐτοὶ δὲ ὑμεῖς, Ἰσαάκ τε καὶ Μαχουμούτα,
good and yourselves too you Isaac both and Mahmud
ἔχοντες τὰς ἰδίας τάξεις διαβαίνετε τὴν τάφρον ἀσφαλῶς
having the own ranks cross the ditch safely
καὶ πειρᾶσθε διὰ τῶν κλιμάκων ἐπιβαίνειν τοῦ τείχους,
and try through the ladders to-climb the wall
οἱ δὲ τοξόται καὶ οἱ τὰς μηχανὰς ἔχοντες καὶ τοὺς
the and archers and the(-ones) the engines having and the
τούφακας, βαλλέτωσαν ἰσχυρῶς τοὺς ἐπὶ τῶν ἐπάλξεων,
muskets let-them-shoot strongly the(-ones) on the battlements
ὡς ἂν ἧττον ἀπείργωσιν ὑμᾶς τῆς διαβάσεως. Καὶ
so-that — less they-may-bar you from-the crossing and
ὑμεῖς δὲ, ὦ Χαλίλη καὶ Σαρατζία, ἑκατέρωθεν ἐμοῦ τὰς
you too O Halil and Saruca on-either-side of-me the
τάξεις ἔχοντες καὶ μαχόμενοι, ὅταν ἐμὲ ἴδητε ἀγωνιζόμενον
ranks having and fighting when me you-see contending
καὶ πειρώμενον ἐπιβαίνειν κατὰ τὰ παρερρηγμένα τοῦ
and trying to-climb at the broken(-parts) of-the
τείχους, βιαζόμενόν τε τοὺς Ἰταλοὺς καὶ τοῖς μετ᾽
wall forcing both the Italians and for-the(-ones) with

ἐμοῦ πάροδον ἀνοίγοντα ἐς τὴν πόλιν, πειρᾶσθε τρόπῳ
me passage opening into the city try by-way
παντὶ ἑκατέρωθεν ἀπείργειν τοὺς κατὰ πρόσωπον ὑμῖν
every on-either-side to-bar the(-ones) in face you
ἀντιτεταγμένους, προσβάλλοντες ἰσχυρῶς, ὡς ἂν μὴ
drawn-up-against attacking strongly so-that — not
σχολὴν ἄγοντες ἀφ' ὑμῶν, ἧττον προσέχωσιν ἡμῖν καὶ
leisure having from you less they-may-attend to-us and
μηδαμοῦ προσβοηθῶσι τοῖς ὑφ' ἡμῶν βιαζομένοις. Καὶ
nowhere may-help the(-ones) by us being-forced and
τὸ ἀπὸ τοῦδε τῶν λοιπῶν ἔμοιγε πάντων μελήσει.
the from this(-point) of-the rest to-me all will-be-a-care
Ἀλλ' ἄπιτε πρὸς τὰς σκηνὰς καὶ τὰς τάξεις ὑμῶν ἀγαθῇ
but go-away to the tents and the ranks your with-good
τύχῃ, καὶ δειπνοποιησάμενοι ἀναπαύεσθε."
fortune and having-supped rest

52.1 Τοσαῦτα εἰπὼν διέλυσε τὸν ξύλλογον, καὶ ἀπῆλθον
so-much having-said he-dissolved the assembly and departed
ἕκαστος ἐς τὰς ἑαυτῶν τάξεις τε καὶ σκηνὰς, καὶ αὐτὸς
each to the of-themselves ranks both and tents and himself
δὲ δειπνοποιησάμενος ἀνεπαύετο. Ἕωθεν δὲ ἀναστὰς
too having-supped rested at-dawn and having-risen
καλεῖ πρῶτον τοὺς μηχανοποιοὺς καὶ κελεύει τὰς μηχανὰς
he-calls first the engine-makers and orders the engines
ἑτοιμάσαντας τρέψαι κατὰ τὰ παρερρηγμένα τοῦ τείχους,
having-readied to-turn against the broken(-parts) of-the wall
ἵνα, ὅταν ᾖ καιρὸς, κατὰ τῶν ταύτῃ προμαχομένων
so-that when it-be time against the(-ones) there fighting-in-front
ἀφῶσιν αὐτάς. Ἔπειτα ξυγκαλέσας τὰς περὶ αὐτὸν
they-may-let-fly them then having-called-together the about him
ἴλας καὶ τάξεις, ὁπλίτας τέ φημι καὶ ὑπασπιστὰς καὶ
squadrons and ranks hoplites both I-mean and shield-bearers and

τοξότας καὶ τὴν βασιλικὴν πᾶσαν αὐλὴν, ἐκτάττει καλῶς
archers and the royal whole court he-draws-up well
κατὰ ξυμμορίας τε καὶ ξυσσιτίας καὶ ξυνωμοσίας καὶ
by companies both and messes and sworn-bands and
τάξεις, ἀνὰ χιλίους ἢ καὶ πλείους τὸν ἀριθμὸν, καὶ κελεύει
ranks by-the thousand or also more in-the number and orders
τούτους ἐκ διαδοχῆς ἀγωνίζεσθαι, ὅταν ἐς τοῦτο καταστῶσι,
these by succession to-contend when to this they-come
καὶ τοὺς μὲν πολεμεῖν τε καὶ μάχεσθαι, τοὺς δὲ ὕπνον
and the(-ones) indeed to-make-war both and to-fight the(-ones) and sleep
αἱρεῖσθαι καὶ σιτία καὶ ἀναπαύειν αὐτούς, ἵν' ὦσι
to-take and food and to-rest themselves so-that they-may-be
νεαροὶ πάλιν πρὸς τὸν ἀγῶνα, καὶ τούτους πάλιν ἑτέρους
fresh again for the contest and these again others
διαδέχεσθαι, καὶ οὕτω τάξεως τάξιν διαδεχομένης ἀεὶ
to-relieve and so rank rank relieving always
καὶ ἀναπαυούσης, ἀδιάκοπόν τε καὶ ξυνεχῆ γίνεσθαι τὸν
and resting unceasing both and continuous to-become the
πόλεμον, ὡς ἂν μηδεμία ἀνακωχή τις ἢ ἐκεχειρία ᾖ τῷ
war so-that — no truce any or armistice be in-the
πολέμῳ τοῖς ἀντιτεταγμένοις. Ἀποτάττει δὲ καὶ τόπον
war for-the(-ones) drawn-up-against be-assigns and also place
ἑκάστῳ καὶ καιρὸν καὶ τάξιν, καὶ παραγγέλλει πῶς δεῖ
to-each and time and rank and instructs how it-is-needed
καὶ ποῦ καὶ πότε ἀγωνίζεσθαι καλόν. Ἔπειτα παριππεύων
and where and when to-contend fine then riding-alongside
περιήει τὰς ἄλλας τάξεις ἁπάσας, ἀποσκοπῶν τε αὐτὰς
he-went-around the other ranks all surveying both them
καὶ παρακελευόμενος καὶ κοινῇ πᾶσι καὶ ἰδίᾳ ἑκάστῳ
and exhorting both in-common to-all and privately to-each
καὶ παραθαρρύνων καὶ παροτρύνων πρὸς τὸν ἀγῶνα, καὶ
and encouraging and urging-on to the contest and

μάλιστα δὴ τοὺς ἡγεμόνας τῶν τάξεων, ἐξ ὀνόματος
most indeed the leaders of-the ranks by name
πάντας καλῶν. Περιελθὼν οὖν πᾶσαν τὴν στρατιὰν καὶ
all calling having-gone-around then all the army and
τὸ τεῖχος ἀπὸ θαλάσσης ἐς θάλασσαν καὶ παραγγείλας
the wall from sea to sea and having-instructed
ἃ δεῖ καὶ παρακαλέσας καὶ παροξύνας ἅπαντας ἐς τὸ
what is-needed and having-exhorted and having-urged-on all to the
πολεμεῖν καὶ παρακελευσάμενος ἄνδρας ἀγαθοὺς γενέσθαι,
to-make-war and having-urged men good to-become
κελεύει ἑστιαθέντας ἀναπαύεσθαι, ἕως ἂν ᾄσῃ τὸ πολεμικὸν
he-orders having-feasted to-rest until — sound the war-trumpet
καὶ τὸ ξύνθημα ἴδωσι. Δράσας δὲ ταῦτα ἀνεχώρησεν
and the signal they-see having-done and these(-things) he-withdrew
ἐς τὴν ἑαυτοῦ σκηνὴν, καὶ ἑστιαθεὶς ἀνεπαύετο.
to the of-himself tent and having-feasted rested

53.1 Ῥωμαῖοι δὲ σιωπὴν τοσαύτην ἐν τῇ στρατιᾷ καὶ ἠρεμίαν
Romans and silence so-great in the army and quiet
ὁρῶντες παρὰ τὸ ξύνηθες ἐθαύμαζόν τε τὸ πρᾶγμα καὶ
seeing against the custom marveled-at both the affair and
ἐς διαφόρους λογισμοὺς καὶ ἐννοίας ἐνέπιπτον, οἱ μὲν
into various reckonings and thoughts fell the(-ones) indeed
νομίζοντες ἑτοιμασίαν εἶναι ἐς ἀναχώρησιν, οὐχ ὀρθῶς
thinking preparation to-be for withdrawal not rightly
δοκοῦντες, οἱ δὲ, ὅπερ καὶ ἦν, παρασκευὴν ἐς τὸν
thinking the(-ones) and which also was(-so) preparation for the
πόλεμον καὶ ἑτοιμασίαν, ὂν ὅσον οὐ προσεδόκων, καὶ
war and readiness being all but they-expected and
διεβοῶντο καὶ αὐτοὶ πρὸς ἀλλήλους ἡσυχῇ, καὶ πρὸς
called-out also themselves to one-another quietly and to

τὰς ἑαυτῶν τάξεις ἐχώρουν ἕκαστος, τά τε ἄλλα
the of-themselves ranks went each the both other(-things)
παρεσκευάζοντο.
prepared

Βασιλεὺς δὲ, ἐπεὶ ὥρα τε ἦν ἤδη κλινούσης ἡμέρας, ἐγγύς 54.1
emperor and when hour both was already declining of-day near
που περὶ δείλην, καὶ ὁ ἥλιος κατὰ νῶτόν τε αὐτῶν
somewhere about late-afternoon and the sun at back both their
ἐγένετο καὶ τοῖς ἐναντίοις κατὰ πρόσωπον ὅπερ ἐβούλετο,
came and for-the opponents at face which he-wished
ἐνταῦθα δὴ κελεύει πρῶτον ᾄσαι τάς τε σάλπιγγας τὸ
then indeed he-orders first to-sound the both trumpets the
πολεμικὸν καὶ τὰ ἄλλα ὄργανα τούς τε αὐλοὺς καὶ τὰς
war-call and the other instruments the both pipes and the
σύριγγας καὶ τὰ κύμβαλα πάνυ ἰσχυρῶς ὡς οἷόν τε. Καὶ
flutes and the cymbals very strongly as possible — and
οὕτως αἵ τε σάλπιγγες πᾶσαι τῶν ἄλλων τάξεων καὶ τὰ
so the both trumpets all of-the other ranks and the
ὄργανα ἐκ διαδοχῆς ἤχησαν μέγα καὶ φοβερὸν ὁμοῦ πάντα,
instruments in succession sounded great and fearful together all
καὶ τὸ πᾶν ἐσείσθη καὶ διεδονήθη τῇ περιηχήσει τούτων.
and the whole was-shaken and shuddered with-the resounding of-these
Ἔπειτα ἤρθη τὰ σημεῖα· καὶ οἱ τοξόται πρῶτοι καὶ
then were-raised the standards and the archers first and
σφενδονῆται καὶ οἱ τὰς μηχανὰς καὶ τοὺς τούφακας
slingers and the(-ones) the engines and the muskets
ἔχοντες (οὕτω γὰρ ἐτέτακτο αὐτοῖς) κατέβαινον ἐπὶ
having so for it-had-been-ordered to-them went-down to
τὸ τεῖχος σχολῇ καὶ βάδην· ὡς δ' ἔσω βέλους ἐγένοντο,
the wall slowly and at-a-walk when and within missile they-came
καταστάντες ἐμάχοντο. Καὶ πρῶτα μὲν ἀκροβολισμοῖς
having-halted they-fought and first indeed skirmishes

ἰσχυροῖς ἐχρήσαντο πρὸς ἀλλήλους ἑκάτεροι, τοῖς τε ἀπὸ
strong they-used toward one-another each-side with-the both from
τῶν τοξοτῶν βέλεσι τοῖς τε ἀπὸ τῶν σφενδονητῶν λίθοις
the archers missiles with-the both from the slingers stones
καὶ τοῖς ἀπὸ τῶν μηχανῶν καὶ τουφάκων ἀφιεμένοις
and with-the from the engines and muskets let-fly
σιδηροῖς καὶ μολυβδίνοις βόλοις, ἔτι δὲ παλτοῖς καὶ
iron and lead balls further and with-darts and
δορατίοις, ὡς μᾶλλον ἐπλησίαζον, βάλλοντες ἀλλήλους
spears as more they-drew-near shooting one-another
καὶ βαλλόμενοι ἀνοικτὶ ξὺν ὀργῇ καὶ θυμῷ πολλῷ· καὶ
and being-shot openly with anger and spirit much and
κραυγὴ ἦν παρ᾽ ἀμφοτέρων ἰσχυρὰ καὶ βλασφημία καὶ
shouting was from both strong and blasphemy and
ὕβρις· καὶ πολλοὶ μὲν ἐτιτρώσκοντο, ἐξ ἑκατέρου μέρους,
insult and many indeed were-wounded from each side
οὐκ ὀλίγοι δὲ καὶ ἀπέθνησκον. Καὶ τοῦτο ἐγίνετο μέχρις
not few and also died and this went-on until
ἡλίου δυσμῶν δύο ἢ τριῶν που ὡρῶν διάστημα.
of-sun setting two or three about hours' interval

55.1 Ἔπειτα μέγα βοήσας ὁ βασιλεὺς καλεῖ τούς τε
then loudly having-shouted the emperor calls the both
ὑπασπιστὰς καὶ ὁπλίτας καὶ τὸ ἄλλο ἄγημα, εἰπών·
shield-bearers and hoplites and the other guard having-said
"Ἴτε, φίλοι καὶ παῖδες ἐμοί· καιρός ἐστιν ἄνδρας ἀγαθοὺς
go friends and children to-me time it-is men good
ὑμᾶς φανῆναι." Οἱ δ᾽ εὐθὺς ξὺν βοῇ καὶ ἀλαλαγμῷ
you to-appear they and at-once with shout and war-cry
φρικαλέῳ διαβάντες τὴν τάφρον προσέμιξαν τῷ ἔξω τείχει·
dreadful having-crossed the ditch engaged the outer wall
τὸ δὲ ὅλον κατέρριπτο ταῖς μηχαναῖς· σταυρώματα
the and whole had-been-hurled-down by-the engines stockades

δὲ μόνον ἦσαν ἀντὶ τείχους αὐτοῦ μεγάλων δοκῶν
and only were instead-of wall itself of-great beams
καὶ φάκελοι κλημάτων καὶ ἄλλης ὕλης καὶ ἀμφορεῖς
and bundles of-vine-branches and other material and jars
μεστοὶ γῆς. Ἐνταῦθα ξυνίσταται μάχη καρτερὰ ἐκ χειρῶν
full of-earth there arises battle fierce at hands
ἀγχεμάχοις ὅπλοις, τῶν μὲν ὁπλιτῶν καὶ ὑπασπιστῶν
with-close-fighting arms the indeed hoplites and shield-bearers
ἀγωνιζομένων βιάσασθαί τε τοὺς προμαχομένους καὶ
contending to-force both the front-fighters and
ἐπιβῆναι τοῦ σταυρώματος, τῶν δὲ Ῥωμαίων καὶ Ἰταλῶν
to-mount the stockade the and Romans and Italians
ἀπώσασθαί τε τούτους καὶ φυλάξαι τὸ σταύρωμα. Καί
to-thrust-back both them and to-guard the stockade and
ποτε μὲν ἐπέβαινον τοῦ τείχους καὶ τοῦ σταυρώματος
sometimes indeed mounted the wall and the stockade
οἱ ὁπλῖται θρασέως τε καὶ ξὺν οὐδενὶ λογισμῷ βιαζόμενοι·
the hoplites boldly both and with no reckoning forcing
ποτὲ δὲ ἀπεκρούοντο ἰσχυρῶς καὶ ἐλαύνοντο· καὶ ὁ
sometimes and were-repelled strongly and were-driven and the
βασιλεὺς εἵπετο αὐτοῖς ἀγωνιζόμενός τε γενναίως καὶ
emperor followed them contending both nobly and
παροξύνων αὐτούς. Ἐνταῦθα κελεύει καὶ τοὺς μηχανοποιοὺς
urging-on them then he-orders also the engine-makers
πῦρ ἐπιβαλεῖν ταῖς μηχαναῖς· αἱ δὲ ἀναφθεῖσαι ἀφῆκαν
fire to-apply to-the engines they and kindled let-fly
τοὺς λίθους κατὰ τῶν προμαχομένων καὶ φόνον οὐχ
the stones against the front-fighters and slaughter not
ὀλίγον ἐξ ἑκατέρου μέρους τῶν προστυχόντων
small from each side of-the(-ones) happening-by
εἰργάσαντο. Οὕτως οὖν εὐρώστως τε καὶ γενναίως
worked so then stoutly both and nobly

ἀγωνιζομένων ἀμφοτέρων καὶ μαχομένων, τὸ πλέον τῆς
contending both-sides and fighting the most of-the
νυκτὸς παρελήλυθε· καὶ ἐκράτουν καὶ ἴσχυον οὐ μικρῶς οἱ
night has-passed and prevailed and were-strong not slightly the
Ῥωμαῖοι καὶ Ἰουστῖνος μετὰ τῶν ξὺν αὐτῷ, κατέχοντές
Romans and Giustiniani with the(-ones) with him holding
τε ἀσφαλῶς τὸ σταύρωμα καὶ φυλάσσοντες, καὶ ἀμυνόμενοι
both securely the stockade and guarding and warding-off
τοὺς ἐπιόντας γενναίως. Καὶ ταύτῃ μὲν οὕτως.
the(-ones) attacking nobly and there indeed thus
56.1 Οἱ δὲ ἄλλοι στρατηγοὶ καὶ σατράπαι μετὰ τῶν ἰδίων
the and other generals and satraps with the own
τάξεων, ἀλλὰ δὴ καὶ ὁ τῶν νεῶν ἡγεμὼν, προσβάλλοντες
ranks but indeed also the of-the ships leader attacking
καὶ αὐτοὶ τῷ τείχει κατὰ γῆν τε καὶ θάλασσαν ταῖς
also themselves the wall by land both and sea with-the
ναυσὶ ἐμάχοντο ἰσχυρῶς, οἱ μὲν τοῖς ἀπὸ τῶν
ships fought strongly the(-ones) indeed with-the from the
τοξοτῶν βέλεσι καὶ τοῖς ἀπὸ τῶν μηχανῶν ἀφιεμένοις,
archers missiles and with-the(-ones) from the engines let-fly
οἱ δὲ κλίμακας προσάγοντες τῷ τείχει καὶ γεφύρας
the(-ones) and ladders bringing-up to-the wall and bridges
καὶ πύργους ξυλίνους καὶ μηχανὰς παντοίας. Καί τινες
and towers wooden and engines of-every-kind and some
αὐτῶν που ξὺν βίᾳ καὶ ἐπιβαίνειν ἐπειρῶντο τοῦ
of-them somewhere with force also to-climb tried the
τείχους, καὶ μάλιστα δὴ ᾗ ὁ Ζάγανος ἐπετέτακτο
wall and most indeed where — Zaganos had-been-posted
καὶ ὁ Καρατζίας. Ὁ μὲν γὰρ, ὁ Ζάγανος, διαβὰς τὴν
and — Karaca he indeed for — Zaganos having-crossed the
γέφυραν ἀσφαλῶς καὶ κλίμακας ἐπαγαγὼν τῷ τείχει καὶ
bridge safely and ladders having-brought-up to-the wall and

γεφύρας ἀναβιβάζειν ἐπειρᾶτο τοὺς ὁπλίτας ξὺν βίᾳ, ἔχων
bridges to-send-up tried the hoplites with force having
καὶ τοὺς ἀπὸ τῶν ἐντὸς τοῦ λιμένος νεῶν τοξότας τε καὶ
also the from the inside the harbor ships archers both and
τουφακοφόρους βάλλοντας ἀπὸ τῶν καταστρωμάτων ἐξ
musketeers shooting from the decks from
ὑπερδεξίων τοὺς ἐπὶ τῶν ἐπάλξεων ἰσχυρῶς, περιπλεουσῶν
above the(-ones) on the battlements strongly sailing-around
τῶν νεῶν. Καρατζίας δὲ διαβὰς τὴν τάφρον καὶ γενναίως
the ships Karaca and having-crossed the ditch and nobly
ἀγωνιζόμενος, ἔσω τοῦ παρερρηγμένου τείχους ἐβιάζετο
contending inside the broken wall forced
παρελθεῖν. Οἱ δὲ Ῥωμαῖοι καὶ τούτους ἰσχυρῶς ἀπεκρούοντο
to-pass the and Romans also these strongly repelled
καὶ ἀπεωθοῦντο λαμπρῶς, ἀμυνόμενοί τε γενναίως καὶ
and thrust-back brilliantly warding-off both nobly and
τῷ πολέμῳ καθυπερτεροῦντες καὶ ἄνδρες ἀγαθοὶ γινόμενοι·
in-the war prevailing and men good becoming
οὐδὲν γὰρ ὅλως αὐτοὺς ἠδυνήθη παρατρέψαι τῶν
nothing for at-all them was-able to-turn-aside of-the(-things)
γινομένων, οὐ λιμὸς ἐπικείμενος, οὐκ ἀγρυπνία, οὐ πόλεμος
happening not hunger pressing not sleeplessness not war
ξυνεχής τε καὶ ἀδιάκοπος, οὐ τραύματα καὶ σφαγαὶ
continuous both and unceasing not wounds and slaughters
καὶ θάνατοι τῶν οἰκείων πρὸ ὀφθαλμῶν ὁρώμενοι, οὐκ
and deaths of-the own(-people) before eyes seen not
ἄλλο τῶν φοβερῶν οὐδὲ ἕν, ὥστε ἐνδοῦναί τι καὶ
other of-the fearful(-things) not-even one so-as to-yield anything and
καθυφεῖναι τῆς πρόσθεν ὁρμῆς τε καὶ γνώμης, ἀλλ’
to-slacken of-the former impulse both and resolve but

ἐτήρησαν γενναίως τὴν ἐξ ἀρχῆς ἔνστασιν διὰ πάντων,
they-kept nobly the from beginning stand through all
ἕως ἡ πονηρὰ καὶ ἀγνώμων τύχη προΐδωκε τούτους.
until the wicked and unfeeling fortune betrayed them

57.1 Μεχέμετις γὰρ ὁ βασιλεὺς, ἐπειδὴ τὰς προβεβλημένας οἱ
Mehmed for the emperor since the posted-in-front his
τάξεις ἑώρα σφόδρα τῷ πολέμῳ πεπονηκυίας, καὶ μηδὲν
ranks he-saw exceedingly by-the war worn-out and nothing
περαινούσας ὅ τι καὶ λόγου ἄξιον, καὶ τοὺς Ῥωμαίους
accomplishing what thing also of-account worth and the Romans
καὶ Ἰταλοὺς εὐρώστως τε ἀγωνιζομένους καὶ τῷ πολέμῳ
and Italians stoutly both contending and in-the war
πλεονεκτοῦντας, ἐνταῦθα δὴ σφόδρα ἀγανακτήσας καὶ
gaining-the-advantage then indeed exceedingly having-been-vexed and
οὐκέτι ἀνασχετὰ ἡγησάμενος εἶναι, αὐτίκα πάσας ἐπάγει
no-longer tolerable having-thought to-be at-once all brings-up
τὰς τάξεις, ἃς ἐς ὕστερον ἐταμιεύετο, ἄνδρας εὐοπλοτάτους
the ranks which for later he-was-reserving men best-armed
τε καὶ εὐτολμοτάτους καὶ εὐθαρσεστάτους ἅμα καὶ
both and boldest and most-courageous at-once and
τῶν ἄλλων ἐμπειρίᾳ καὶ ῥώμῃ πολλῷ προέχοντας· οἱ
than-the others in-experience and strength by-much excelling these
δὲ ἦσαν τὸ καθαρώτατον τοῦ στρατοῦ, ὁπλῖται καὶ
and were the purest of-the army hoplites and
τοξόται καὶ ἀκοντισταὶ καὶ ἡ περὶ αὐτὸν τάξις τῶν
archers and javelin-men and the about him rank of-the
τε ἄλλων καὶ τῶν καλουμένων δὴ γενητζάρων· οἷς
both others and of-the called indeed janissaries to-whom
μέγα βοήσας καὶ παρακελευσάμενος ἀνδράσιν ἀγαθοῖς
loudly having-shouted and having-urged men good
νῦν ἤδη φανῆναι, ἡγεῖτο τὴν ἐπὶ τὸ τεῖχος πρῶτος
now already to-appear he-led the(-way) to the wall first

αὐτὸς μέχρι τῆς τάφρου. Κἀνταῦθα δὴ τοὺς μὲν
himself as-far-as the ditch and-there indeed the indeed
τοξότας τε καὶ σφενδονήτας καὶ τοὺς τούφακας ἔχοντας
archers both and slingers and the(-ones) muskets having
πόρρωθεν ἱσταμένους ἐκέλευσε βάλλειν ἐξ ὑπερδεξίων
from-afar standing he-ordered to-shoot from above
τοὺς ἐπὶ τοῦ σταυρώματος καὶ τοῦ παρερρηγμένου
the(-ones) on the stockade and the broken
τείχους προμαχομένους οὕτω πυκνῶς ὥστε μηκέτι ἑαυτοῖς
wall fighting-in-front so densely as no-longer themselves
τῷ πολέμῳ ἔχειν κεχρῆσθαι, μηδὲ ἐς τὰ ἔξω προκύπτειν
in-the war to-be-able to-use nor to the outside to-peer-out
δύνασθαι τῷ πλήθει τῶν ἀφιεμένων βελῶν καὶ τῶν
to-be-able by-the multitude of-the let-fly missiles and the
ἄλλων, νιφάδων δίκην, πιπτόντων· τοῖς δὲ ἄλλοις ὁπλίταις
others of-snowflakes like falling to-the and other hoplites
τε καὶ ὑπασπισταῖς ἐσήμηνε διαβάντας τὴν τάφρον
both and shield-bearers he-signaled having-crossed the ditch
σπουδῇ προσμῖξαι τῷ σταυρώματι. Οἱ δὲ ἀλαλάξαντες
with-zeal to-engage the stockade they and having-raised-the-war-cry
μέγα καὶ φοβερὸν ξὺν ὀργῇ καὶ θυμῷ, μαινομένων
great and fearful with anger and spirit of-raging(-men)
δίκην, ἐπίασιν· ἅτε γὰρ νεαροὶ ὄντες καὶ ῥωμαλέοι καὶ
like they-attack as for fresh being and mighty and
θράσους μεστοὶ καὶ ἔμπροσθεν τοῦ βασιλέως μαχόμενοι
of-boldness full and before the emperor fighting
οὐδὲν ἠφίεσαν ὁρμῆς, ἀλλὰ προσμίξαντες τῷ σταυρώματι
nothing they-slackened of-impulse but having-engaged the stockade
θρασέως τε καὶ ξὺν οὐδενὶ λογισμῷ καὶ κόσμῳ ἐμάχοντο,
boldly both and with no reckoning and order they-fought
κατασπῶντές τε τοὺς προβεβλημένους ἀμφορέας, τάς
dragging-down both the placed-in-front jars the

τε κεραίας ξυγχλῶντες καὶ τὴν ἄλλην ξυμπεφορημένην
both yards breaking and the other heaped-together
ὕλην σκεδαννύντες καὶ βιαζόμενοι τρέψασθαί τε τοὺς
material scattering and forcing to-rout both the
προμαχομένους καὶ εἴσω τοῦ σταυρώματος παρελθεῖν.
front-fighters and inside the stockade to-pass
58.1 Ἰουστῖνος δὲ μετὰ τῶν ξὺν αὐτῷ καὶ οἱ ταύτῃ ὄντες
Giustiniani and with the(-ones) with him and the(-ones) there being
Ῥωμαῖοι εὐρώστως ἀγωνιζόμενοι ξυστοῖς καὶ παλτοῖς καὶ
Romans stoutly contending with-pikes and darts and
ἀκοντίοις καὶ δόρασι μακροῖς καὶ τοιούτοις τισὶ ἀγχεμάχοις
javelins and spears long and such some close-fighting
ὅπλοις (ἐν χεροῖν γὰρ ἦν ἡ μάχη), κατεῖχόν τε
arms in hands for was the battle held-back both
αὐτοὺς τῆς ὁρμῆς, καὶ ἀνεῖργον εἴσω τοῦ σταυρώματος
them from-the impulse and barred inside the stockade
παρελθεῖν. Ἦν οὖν παρ' ἀμφοτέρων κραυγὴ πολλὴ καὶ
to-pass there-was then from both shouting much and
βία ξυμμιγὴς βλασφημούντων, ὑβριζόντων, ἀπειλούντων,
force mingled blaspheming insulting threatening
ὠθούντων, ὠθουμένων, βαλλόντων, βαλλομένων, κτεινόντων,
pushing being-pushed shooting being-shot killing
κτεινομένων, παντὰ δεινὰ ποιούντων μετὰ θυμοῦ
being-killed all terrible(-things) doing with spirit
καὶ ὀργῆς· καὶ ἦν ἰδεῖν ἐνταῦθα μάχην κρατερὰν
and anger and it-was-possible to-see there battle fierce
ξυνισταμένην τε καὶ ξυσταδὸν γινομένην μετὰ φρονήματος
arising both and hand-to-hand becoming with spirit
μεγίστου καὶ ὑπὲρ μεγίστων ἄθλων μαχομένων γενναίως
greatest and for greatest prizes fighting nobly
ἀνδρῶν, τῶν μὲν φιλονεικούντων πάσῃ δυνάμει βιάσασθαί
men the(-ones) indeed contending with-all power to-force

τε τοὺς ἀνθισταμένους καὶ κατασχεῖν τὸ τεῖχος καὶ ἔσω
both the(-ones) resisting and to-seize the wall and inside
τῆς πόλεως παρελθεῖν ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ
the city to-pass against children and wives and the
τιμιώτατα, τῶν δὲ ἀγωνιζομένων καλῶς ἀπώσασθαί
most-precious(-things) the(-ones) and contending well to-thrust-back
τε τούτους καὶ φυλάξαι τὰ ὄντα ἀγαθὰ, εἰ καὶ μὴ διὰ
both them and to-guard the existing goods if even not to
τέλους ἴσχυσαν ὑπερσχεῖν καὶ ταῦτα φυλάξαι. Ἀλλ'
the-end they-had-strength to-prevail and these(-things) to-guard but
ἔδει ποτὲ καὶ τοὺς ταλαιπώρους Ῥωμαίους τῷ τῆς
it-was-needed once also the wretched Romans to-the of-the
δουλείας ὑπαχθῆναι ζυγῷ καὶ τῶν ταύτης πειραθῆναι
slavery to-be-brought-under yoke and of-the of-it to-experience
δυσκόλων· ἤδη γὰρ μαχομένων γενναίως καὶ προθυμίας
hardships already for fighting nobly and of-eagerness
καὶ τόλμης οὐδὲν ἐλλειπόντων ἐς τὸν ἀγῶνα, βάλλεται
and of-daring nothing falling-short for the contest is-hit
μὲν Ἰουστῖνος καιρίαν βέλει τῶν ἀπὸ μηχανῆς κατὰ
indeed Giustiniani mortally by-missile of-the(-ones) from engine in
τοῦ στέρνου διὰ τοῦ θώρακος διαμπὰξ, καὶ βληθεὶς
the chest through the breastplate right-through and having-been-hit
πίπτει αὐτοῦ, καὶ ἀποκομίζεται ἐς τὴν ἰδίαν σκηνὴν κακῶς
falls there and is-carried-off to the own tent badly
ἔχων. Ἐκλύονται δὲ οἱ μετ' αὐτοῦ πάντες ἀπειρηκότες
faring are-undone and the(-ones) with him all having-given-up
τῷ πάθει, καὶ καταλείψαντες τό τε σταύρωμα καὶ τὸ
at-the misfortune and having-abandoned the both stockade and the
τεῖχος ἵνα ἐμάχοντο, πρὸς ἓν μόνον ἑώρων, ἀποκομίσαι
wall where they-fought to one only they-looked to-carry-off
τε τοῦτον ἐν ταῖς ὁλκάσι καὶ αὐτοὶ ἀποκομισθῆναι σῶς,
both him in the merchantmen and themselves to-be-carried-off safe

καίτοι τοῦ βασιλέως Κωνσταντίνου πολλὰ παρακαλοῦντος
although the emperor Constantine much begging
αὐτοὺς καὶ ὑπεσχημένου μικρὸν παραμεῖναι, ἕως ἂν ὁ
them and having-promised a-little to-stay-on until — the
πόλεμος λωφήσῃ· οἱ δ' οὐκ ἐδέξαντο, ἀλλ' ἀναλαβόντες
war should-abate they but not accepted but having-taken-up
τὸν ἡγεμόνα σφῶν, ὡπλισμένοι ἐχώρουν ἐπὶ τὰς ὁλκάδας
the leader of-them armed went to the merchantmen
σπουδῇ καὶ δρόμῳ, μηδενὸς ἐπιστρεφόμενοι τῶν ἄλλων.
with-haste and running no-one turning-toward the others

59.1 Βασιλεὺς δὲ Κωνσταντῖνος ἀπαγορεύσας τοῖς ὅπλοις καὶ
emperor and Constantine having-given-up on-the arms and
μηδ' ὅλως ἔχων ὅ τι καὶ δράσειεν (οὐδὲ γὰρ εἶχεν
not-even at-all having what thing also he-might-do not-even for he-had
ἄνδρας ἑτέρους ἀναπληρῶσαι τοὺς ἀπολειφθέντας τόπους
men others to-fill-up the left-empty places
καὶ τὰς τάξεις τῶν ἀπελθόντων εὐθὺς, ἐπικειμένου τε
and the ranks of-the(-ones) departed at-once pressing both
τοῦ πολέμου σφοδρῶς καὶ πάντων ἐς τὰς ἰδίας τάξεις τε
the war violently and all to the own ranks both
καὶ τοὺς τόπους δρώντων τε καὶ ἀγωνιζομένων), ὅμως
and the places acting both and contending nevertheless
γε μὴν μετὰ τῶν ἀπολειφθέντων Ῥωμαίων αὐτοῦ καὶ
at-least indeed with the remaining Romans there and
τῶν μετ' αὐτοῦ, εὐαριθμήτων πάνυ, στὰς πρὸ τοῦ
the(-ones) with him easy-to-count very having-stood before the
σταυρώματος ἀπεμάχετο γενναίως.
stockade fought-back nobly

60.1 Μεχέμετις δὲ ὁ βασιλεὺς κατανοήσας τό τε σταύρωμα
Mehmed and the emperor having-observed the both stockade
καὶ τὸ ἄλλο κατερριμμένον τοῦ τείχους κενὸν ἀνδρῶν καὶ
and the other thrown-down(-part) of-the wall empty of-men and

τῶν προμαχομένων ἔρημον (ἐγγὺς γάρ που ἐτύγχανεν
of-the front-fighters deserted near for somewhere he-happened
ὢν ἀγωνιζόμενος), τούς τε ἄνδρας ὑπεξιόντας λαθραίως,
being contending the both men slipping-away secretly
τούς τε μένοντας ἀσθενῶς δι' ὀλιγότητα μαχομένους, καὶ
the both remaining weakly through fewness fighting and
γνοὺς ἐκ τούτων τόν τε δρασμὸν τῶν ἀνδρῶν καὶ
having-recognized from these the both flight of-the men and
τὴν τοῦ τείχους ἀπόλειψιν, μέγα βοήσας εὐθύς· "Ἔχομεν,
the of-the wall abandonment loudly having-shouted at-once we-have
εἶπεν, ὦ φίλοι, τὴν πόλιν, ἔχομεν ἤδη· φεύγουσιν οἱ
he-said O friends the city we-have(-it) already flee the
ἄνδρες ἡμᾶς· οὐκέτι παραμένειν ἀνέχονται· γυμνὸν τῶν
men us no-longer to-stay-on they-endure bare of-the
προμαχομένων τὸ τεῖχος· ὀλίγου πόνου τὸ ἔργον καὶ ἡ
front-fighters the wall of-little toil the work and the
πόλις ἑάλω· μὴ μαλακισθῆτε οὖν, ἀλλὰ χωρεῖτε πρὸς
city is-taken not be-soft then but go to
τὸ ἔργον εὐψύχως, καὶ γίνεσθε ἄνδρες ἀγαθοὶ, κἀγὼ μεθ'
the work bravely and be men good and-I with
ὑμῶν." Ταῦτα εἰπὼν ἡγεῖτο πρῶτος αὐτός. Οἱ δὲ
you these(-things) having-said led first himself they and
ἀλαλάξαντες δρόμῳ καὶ βοῇ φρικαλέῳ προλαβόντες
having-raised-the-war-cry with-running and shout dreadful having-outrun
τὸν βασιλέα χωροῦσιν ἐπὶ τὸ σταύρωμα, καὶ μάχης
the emperor go against the stockade and battle
ἰσχυρᾶς γενομένης ἐφ' ἱκανὸν, τρέπονται τοὺς ταύτῃ
strong having-arisen for sufficient(-time) they-rout the there
Ῥωμαίους καὶ βιαίως ἐπιβαίνουσι τοῦ σταυρώματος, καὶ
Romans and forcibly mount the stockade and
οὕτω τοὺς μὲν αὐτῶν ῥίπτουσι κατὰ τοῦ χάρακος τοῦ
so the(-ones) indeed of-them they-throw into the trench the(-one)

μεταξὺ τοῦ μεγάλου τείχους καὶ τοῦ σταυρώματος, βαθέος
between the great wall and the stockade deep
ὄντος καὶ δυσδιεξιτήτου, καὶ κατασφάττουσι πάντας αὐτοῦ,
being and hard-to-pass-through and slaughter all there
τοὺς δὲ ὠθοῦσι διὰ τῆς πυλίδος Ἰουστίνου, ἣν οὗτος
the(-ones) and they-push through the postern of-Giustiniani which this-man
ἀνέῳξεν ἐν τῷ μεγάλῳ τείχει, ἵνα προχείρως ἔχῃ
opened in the great wall so-that readily he-might-be-able
διαβαίνειν ἐπὶ τὸ σταύρωμα. Καὶ γίνεται ὠθισμὸς ἐνταῦθα
to-cross to the stockade and comes-about pushing there
καὶ φόνος τῶν προστυχόντων πολὺς παρὰ τῶν ὁπλιτῶν,
and slaughter of-the(-ones) happening-by much from the hoplites
ἅτε ξυνδεδραμηκότων καὶ ἑτέρων οὐκ ὀλίγων ἀτάκτως πρὸς
as having-run-together also others not few in-disorder to
τὴν βοὴν πολλαχόθεν· οὗ δὴ καὶ βασιλεὺς Κωνσταντῖνος
the shout from-many-sides where indeed also emperor Constantine
πίπτει μαχόμενος μετὰ τῶν ξὺν αὐτῷ γενναίως.
falls fighting with the(-ones) with him nobly

61.1 Οἱ δὲ ὁπλῖται ἐσεχέοντο ἤδη διὰ τῆς πυλίδος ἐπὶ τὴν
the and hoplites poured-in already through the postern into the
πόλιν, οἱ δὲ καὶ διὰ τοῦ κατερριμμένου μεγάλου
city the(-ones) and also through the thrown-down great
τείχους ἐσέπιπτον· τὸ δὲ ἄλλο στράτευμα πᾶν ἑπόμενον
wall fell-in the and other army all following
ὠθισμῷ καὶ βίᾳ ἐσεχεῖτο λαμπρῶς ἀνὰ πᾶσαν τὴν πόλιν
with-pushing and force poured-in brilliantly through all the city
σκεδαννύμενον. Βασιλεὺς δ' ἑστὼς πρὸ τοῦ μεγάλου τείχους,
scattering emperor and standing before the great wall
ἵνα καὶ ἡ μεγάλη σημαία ἦν καὶ τὸ ξύνθημα, ἀπεσκόπει
where also the great standard was and the signal watched
τὰ δρώμενα· ἤδη γὰρ καὶ ἡμέρα ὑπέφαινεν. Ἔνθα δὴ
the(-things) being-done already for also day was-showing there indeed

φόνος πολὺς τῶν προστυγχανόντων ἐγίνετο, τῶν
slaughter much of-the(-ones) happening-by came-about of-the(-ones)
μὲν κατὰ τὴν ὁδόν (ἤδη γὰρ ἐξήεσάν τινες τῶν οἰκιῶν
indeed along the road already for came-out some from-the houses
θέοντες πρὸς τὴν βοὴν, καὶ τοῖς ξίφεσι τῶν στρατιωτῶν
running to the shout and on-the swords of-the soldiers
ἀπροόπτως ἐνέπιπτον), τῶν δὲ ἐν ταῖς οἰκίαις αὐταῖς,
unforeseen fell of-the(-ones) and in the houses themselves
ἐπεσπιπτόντων βίᾳ τῶν γενητζάρων καὶ τῶν ἄλλων
falling-in by-force the janissaries and the other
στρατιωτῶν ξὺν οὐδενὶ κόσμῳ καὶ λογισμῷ, τῶν δὲ
soldiers with no order and reckoning of-the(-ones) and
καὶ ἐς ἀλκὴν τρεπομένων, τῶν δὲ καὶ πρὸς ἱεροῖς
also to resistance turning of-the(-ones) and also to sacred(-places)
καταπεφευγότων τε καὶ ἱκετευόντων, ἀνδρῶν, γυναικῶν,
having-fled both and supplicating men women
παίδων, πάντων ἁπλῶς, μηδεμιᾶς οὔσης φειδοῦς· ὀργῇ γὰρ
children all simply no being sparing in-anger for
καὶ θυμῷ πολλῷ ἐχώρουν ἐπ᾽ αὐτοὺς οἱ στρατιῶται, τοῦτο
and spirit much went against them the soldiers this
μὲν ἀχθόμενοι τῇ τριβῇ τῆς πολιορκίας, τοῦτο δ᾽ ὅτι καὶ
indeed vexed at-the length of-the siege this and that also
ἀπὸ τῶν ἐπάλξεων σκώμμασί τε καὶ ὕβρεσιν οὐκ ὀλίγοις
from the battlements with-mockeries both and insults not few
ἔβαλλον αὐτοὺς ἔνιοι τῶν ἀνοήτων παρ᾽ ὅλον τὸν πόλεμον,
pelted them some of-the foolish through whole the war
τὸ δ᾽ ὅλον ὅπως ἂν θροήσωσι τὸ πᾶν καὶ φοβήσωσι
the and whole so-that — they-might-terrify the all and frighten
καὶ δουλώσωνται ταῖς σφαγαῖς. Ὡς δὲ ἅλις εἶχον τοῦ
and enslave with-the slaughters when and enough they-had of-the
φόνου καὶ ἡ πόλις ἤδη δεδούλωτο, τρέπονται οἱ
slaughter and the city already had-been-enslaved turn the(-ones)

μὲν ἐν ταῖς τῶν δυνατῶν οἰκίαις κατὰ ξυμμορίας τε καὶ
indeed into the of-the powerful houses by companies both and
ξυνωμοσίας καὶ τάξεις ἐπὶ διαρπαγῇ καὶ σκυλμῷ, οἱ
sworn-bands and ranks for plunder and spoiling the(-ones)
δὲ πρὸς σύλησιν τῶν ἱερῶν, οἱ δὲ ἐπὶ τὰς κοινάς
and to despoiling of-the sacred(-places) the(-ones) and to the public
τε καὶ τῶν ἰδιωτῶν οἰκίας ἐσκεδασμένοι, διαρπάζοντες,
both and of-the private-men houses scattered plundering
σκυλεύοντες, ληιζόμενοι, φονεύοντες, ὑβρίζοντες, ἀπάγοντες
stripping pillaging murdering outraging leading-away
αἰχμαλώτους ἄνδρας, γυναῖκας, παῖδας, πρεσβύτας, νέους,
captives men women children old-men young
ἱερεῖς, μοναχοὺς, πᾶσαν ἡλικίαν καὶ τάξιν ἁπλῶς. Καὶ
priests monks every age and rank simply and
ἦν ἰδεῖν θέαμα δεινὸν καὶ ἐλεεινὸν καὶ πέρα
it-was-possible to-see sight terrible and pitiable and beyond
τραγῳδίας ἁπάσης, γυναῖκας νέας καὶ σώφρονας, εὐγενεῖς
tragedy all women young and chaste noble
τε καὶ τῶν εὖ γεγονότων, τὰ πολλὰ οἰκουρούσας καὶ
both and of-the well born the most keeping-at-home and
οὐδὲ τὴν αὔλιον προελθούσας ποτὲ, καὶ παρθένους
not-even the courtyard having-gone-out ever and maidens
εὐπρεπεῖς καὶ ὡραίας λαμπράς τε καὶ λαμπρῶν οἰκιῶν
comely and ripe brilliant both and of-brilliant houses
καὶ μέχρι τότε ἀρρένων ὀφθαλμοῖς ὅλως ἀψαύστους, τὰς
and until then of-males to-eyes wholly untouched the(-ones)
μὲν βίᾳ τῶν θαλάμων ἐξελκομένας ἀπηνῶς τε ἅμα
indeed by-force from-the chambers dragged-out harshly both at-once
καὶ ἀναιδῶς ἁρπαζομένας, τὰς δὲ — κακὸν αὐταῖς ἔτι
and shamelessly being-seized the(-ones) and evil to-them still
κοιμωμέναις ἐφιστάμενοι ὄναρ ἄνδρες ξιφήρεις, ἡμαγμένοι
sleeping standing-over dream men sword-bearing bloodied

τὰς χεῖρας τῷ φόνῳ, θυμοῦ πνέοντες, φονικὸν βλέποντες,
in-the hands with-the slaughter fury breathing murder looking
ἄσημα φθεγγόμενοι, ἀπηρυθριασμένοι πρὸς πάντα τὰ
inarticulate(-things) uttering having-cast-off-shame for all the
χείριστα, ἅτε πλῆθος ξύμμικτον ὄντες, ἐκ παντὸς ἔθνους
worst(-things) as multitude mixed being from every nation
καὶ γένους καὶ τύχης ξυνειλεγμένοι, ὥσπερ θῆρες ἄγριοι καὶ
and race and fortune gathered-together as beasts wild and
ἀνήμεροι ἐσπηδῶντες ἐς τὰς οἰκίας καὶ σύροντες ὠμῶς,
untamed leaping into the houses and dragging cruelly
ἕλκοντες, σπαράσσοντες, βιαζόμενοι, ἀπάγοντες αἰσχρῶς,
hauling tearing forcing leading-away shamefully
ἐπὶ τῶν τριόδων ὑβρίζοντες καὶ τί δεινὸν οὐχὶ
at the crossroads outraging and what terrible(-thing) not
ποιοῦντες· φασί γέ τοι πολλὰς αὐτῶν καὶ πρὸς μόνην
doing they-say indeed surely many of-them also at only
ἀήθη τὴν θέαν τε καὶ ἀκοὴν τούτων καταπλαγείσας
unaccustomed the sight both and hearing of-these stricken
ἐγγὺς ἐλθεῖν ἀφεῖναι καὶ τὴν ψυχήν· ἔτι δὲ γέροντας
near to-come to-give-up also the soul further and old-men
ἐντίμους ἑλκομένους τῆς πολιᾶς, τοὺς δὲ καὶ τυπτομένους
honored dragged by-the gray-hair the(-ones) and also beaten
ἀνηλεῶς· παρθένους μοναζούσας σεμνάς τε καὶ ἀπροίτους
pitilessly maidens living-as-nuns august both and never-going-out
τὸ ὅλον καὶ τῷ θεῷ μόνῳ προσανεχούσας καὶ ζώσας,
the whole and — to-God alone devoted and living
ᾧ καθιέρωσαν ἑαυτὰς, τὰς μὲν τῶν δοματίων
for-whom they-consecrated themselves the(-ones) indeed from-the cells
βιαίως ἐξαγομένας καὶ συρομένας, τὰς δὲ τῶν ἱερῶν
forcibly led-out and dragged the(-ones) and from-the sacred(-places)
ἀποσπωμένας, ἐν οἷς κατέφευγον, καὶ ἀπαγομένας ξὺν
torn-away in which they-fled and led-away with

ὕβρει καὶ ἀτιμίᾳ, ξαινομένας τε τὰς παρειὰς ξὺν οἰμωγῇ
outrage and dishonor scratching both the cheeks with wailing
καὶ ὀλολυγῇ καὶ κοπτομένας πικρῶς· παῖδας ἁπαλοὺς
and lamentation and beating(-their-breasts) bitterly children tender
ὠμῶς ἀποσπωμένους μητέρων, κόρας ἐλεεινῶς χωριζομένας
cruelly torn-away from-mothers brides pitiably separated
τῶν νεογάμων ἀνδρῶν· ἄλλα μυρία εἰργασμένα δεινά.
from-the newly-married husbands other countless worked terrible(-things)

62.1 Τὴν δὲ τῶν ἱερῶν ὕβριν καὶ σύλησιν καὶ διαρπαγὴν πῶς
the and of-the sacred(-places) outrage and despoiling and plunder how
ἄν τις ἐξείποι τῷ λόγῳ; Κατεβάλλοντο μὲν ἀτίμως
— anyone might-tell-fully in-the word were-thrown-down indeed dishonorably
ἐς γῆν εἰκόνες καὶ ἀφιδρύματα καὶ τἆλλα τῶν ἱερῶν,
to ground icons and statues and the-rest of-the sacred(-things)
ἀπεσπᾶτο δὲ κόσμος ὁ τούτων, ἐδίδοτο δὲ τὰ μὲν
was-torn-off and adornment the of-these were-given and the(-ones) indeed
αὐτῶν τῷ πυρὶ, τὰ δὲ ἐς λεπτὰ τεμνόμενά τε καὶ
of-them to-the fire the(-ones) and into small(-pieces) being-cut both and
ξυντριβόμενα ἐπὶ τῶν τριόδων ἐρριπτεῖτο, ἠνοίγοντο δὲ
being-smashed in the crossroads were-thrown were-opened and
θῆκαι τῶν παλαιῶν καὶ μακαρίων ἀνδρῶν καὶ τὰ τούτων
tombs of-the ancient and blessed men and the of-these
ἐξήγετο λείψανα καὶ ἀτίμως λεπτυνόμενα καὶ λυόμενα ἐς
were-brought-out remains and dishonorably ground-small and dissolved into
ἀέρα ἐλικμᾶτο, τὰ δὲ καὶ ἐπὶ τῶν ἀμφόδων ἐρριπτεῖτο,
air were-winnowed the(-ones) and also in the streets were-thrown
κρατῆρές τε καὶ φιάλαι, καὶ ἃ τὴν παναγεστάτην
mixing-bowls both and cups and which(-vessels) the all-holiest
θυσίαν ἐδέχετο, αἱ μὲν ἐς προπόσεις καὶ μέθην
sacrifice received the(-ones) indeed for toasts and drunkenness
ἦσαν αὐτοῖς, οἱ δὲ ξυντριβόμενοί τε καὶ χωνευόμενοι
were for-them the(-ones) and smashed both and melted

ἀπεδίδοντο, ἱερὰ δὲ σκεύη καὶ πέπλα τίμια πολυτελῆ τε καὶ
were-sold sacred and vessels and robes precious costly both and
πολλῷ χρυσίῳ ἐνυφασμένα, τὰ δὲ καὶ λίθοις διαφανέσι
with-much gold interwoven the(-ones) and also with-stones translucent
καὶ μαργάροις καταστραπτόμενα, τὰ μὲν ἀπεδίδοντο
and pearls flashing the(-ones) indeed were-sold
πονηροτάτοις ἀνδράσιν εἰς ἀπόχρησιν οὐ καλὴν, τὰ δὲ
to-most-wicked men for use not fine the(-ones) and
πυρὶ παρεδίδοντο, χωνευόμενα διὰ τὸν χρυσόν· βίβλοι
to-fire were-handed-over melted because-of the gold books
τε ἱεραὶ καὶ θεῖαι, ἀλλὰ δὴ καὶ τῶν ἔξω μαθημάτων
both sacred and divine but indeed also of-the outer learnings
καὶ φιλοσόφων αἱ πλεῖσται, αἱ μὲν πυρὶ παρεδίδοντο,
and of-philosophers the most the(-ones) indeed to-fire were-handed-over
αἱ δὲ ἀτίμως κατεπατοῦντο, αἱ πλείους δὲ αὐτῶν οὐ
the(-ones) and dishonorably were-trampled the more and of-them not
πρὸς ἀπόδοσιν μᾶλλον ἢ ὕβριν δύο ἢ τριῶν νομισμάτων,
for selling rather than outrage for-two or three coins
ἔστι δ' ὅτε καὶ ὀβολῶν ἀπεδίδοντο· τράπεζαι δὲ ἱεραὶ
it-is and when also for-obols were-sold tables and sacred
ἐκ βάθρων αὐτῶν ἀνεσπῶντο καὶ ἀνετρέποντο, τοῖχοί τε
from bases their were-torn-up and were-overturned walls both
τῶν ἀβάτων καὶ ἀψαύστων τόπων ἀνηρευνῶντο καὶ τὰ
of-the untrodden and untouched places were-searched and the
τῶν τεμενῶν ἱερὰ ἕδη ἀνωρύττετό τε καὶ κατεσκάπτετο
of-the precincts sacred seats were-dug-up both and razed
ἐπὶ ζητήσει χρυσοῦ, ἄλλα τε πολλὰ τοιαῦτα ἐτολμᾶτο.
for search of-gold other both many such(-things) were-dared
Οἱ δὲ ἐπὶ τοῦ ἑτέρου τείχους τεταγμένοι τε καὶ 63.1
the(-ones) and on the other wall posted both and
μαχόμενοι κατὰ γῆν τε καὶ θάλασσαν δυστυχεῖς Ῥωμαῖοι
fighting by land both and sea unfortunate Romans

νομίζοντες σῶν εἶναι τὴν πόλιν καὶ κακῶν ἀπαθῆ καὶ
thinking safe to-be the city and of-evils unharmed and
παῖδας καὶ γυναῖκας ἐλευθέρους (οὐδὲ γὰρ ᾔδεσάν πω
children and wives free not-even for they-knew yet
τὰ γινόμενα), εὐρώστως τε ἠγωνίζοντο καὶ μετὰ
the(-things) happening stoutly both contended and with
ῥώμης ἠμύνοντο τοὺς ἐπιόντας καὶ ἀπεωθοῦντο, λαμπρῶς
strength warded-off the(-ones) attacking and thrust-back brilliantly
τοὺς ἐπιβαίνειν πειρωμένους τοῦ τείχους. Ὡς δὲ κατὰ
the(-ones) to-climb trying the wall when and at
νώτου τε εἶδον τοὺς πολεμίους καὶ βάλλοντας ἀπὸ τῶν
back both they-saw the enemies and shooting from the(-places)
ἔνδον καὶ τῆς πόλεως αὐτοὺς, καὶ παῖδας καὶ γυναῖκας
inside and of-the city themselves and children and wives
ἠνδραποδισμένους ἑώρων καὶ ἀπαγομένους αἰσχρῶς, οἱ
enslaved they-saw and led-away shamefully the(-ones)
μὲν αὐτῶν ἀθυμίᾳ ληφθέντες ἐρρίπτουν σφᾶς αὐτοὺς
indeed of-them by-despondency seized threw them selves
μετὰ τῶν ὅπλων ἀπὸ τοῦ τείχους καὶ ἀπέθνησκον, οἱ
with the arms from the wall and died the(-ones)
δὲ ἀπογνόντες τοῖς ὅλοις καὶ τὰ ὅπλα τῶν χειρῶν
and having-despaired of-the whole and the arms the hands
ἐκλυομένων ἤδη ἀπολύοντες, παρεδίδουν αὑτοὺς τοῖς
being-undone already letting-go handed-over themselves to-the
ἐχθροῖς ἀμαχὶ χρήσασθαι ὅ τι καὶ βούλοιντο.
enemies without-fighting to-use what thing also they-might-wish

64.1 Ἔτυχε δ' ἐκεῖσε τότε παρὼν καὶ μαχόμενος ἐπὶ τοῦ
happened and there then being-present and fighting on the
τείχους ξὺν αὐτοῖς καὶ Ὀρχάνης ὁ τοῦ βασιλέως θεῖος, τοῦ
wall with them also Orhan the of-the emperor uncle of-the
Ἀτουμάνων γένους, ὃν εἶχε βασιλεὺς Κωνσταντῖνος ἐν τῇ
of-Ottomans race whom had emperor Constantine in the

πόλει, ἐν πολλῇ ἄγων θεραπείᾳ τε καὶ τιμῇ δι᾽ ἐλπίδας,
city in much keeping attendance both and honor for hopes
φυγάδα πρὸ πολλοῦ ὄντα διὰ τὸν φόβον τοῦ ἀδελφοῦ·
fugitive before long being because-of the fear of-the brother
ἐζήτει γὰρ αὐτὸν ἀνελεῖν· ὃς ἰδὼν τὴν τῆς πόλεως
he-sought for him to-kill who having-seen the of-the city
ἅλωσιν καὶ θέλων ἑαυτὸν ἐκσῶσαι, πρῶτον μὲν ἐβουλήθη
capture and wishing himself to-save first indeed wished
λαθὼν διαδρᾶναι, ὡς εἷς τῶν ἀπὸ τῆς στρατιᾶς τῇ
escaping-notice to-run-away as one of-the(-ones) from the army by-the
τε σκευῇ καὶ τῇ τῆς φωνῆς ὁμοιότητι· ὡς δὲ εἶδε [ὅτι]
both dress and by-the of-the voice likeness when but he-saw that
γνωσθείς τε καὶ διωκόμενος (ἦσαν γὰρ οἱ ἀναγνόντες
recognized both and pursued there-were for the(-ones) having-recognized
αὐτόν), ῥίπτει ἑαυτὸν εὐθὺς κατὰ τοῦ τείχους καὶ
him throws himself at-once from the wall and
ἀποθνήσκει. Οἱ δὲ στρατιῶται δραμόντες αἴρουσιν αὐτοῦ
dies the and soldiers having-run take his
τὴν κεφαλὴν ἀποταμόντες καὶ ἀπήγαγον τῷ βασιλεῖ· καὶ
the head having-cut-off and brought-off to-the emperor and
γὰρ ἐζήτει αὐτὸν διὰ σπουδῆς ἢ ζῶντα ἢ τεθνεῶτα ἰδεῖν.
for he-sought him with zeal either living or dead to-see
Ἐν τούτῳ δὲ καὶ Χαμουζᾶς ὁ τῶν νεῶν ἡγεμών, ὡς εἶδε 65.1
in this and also Hamza the of-the ships leader when he-saw
τὴν πόλιν ἐχομένην ἤδη καὶ τοὺς ὁπλίτας ληιζομένους
the city held already and the hoplites plundering
αὐτὴν, εὐθὺς ἐπιπλεῖ τῇ ἁλύσει καὶ διαρρήξας αὐτὴν εἴσω
it at-once sails-against the chain and having-broken it inside
γίνεται τοῦ λιμένος· καὶ ὅσας εὗρε τῶν Ῥωμαϊκῶν
comes the harbor and as-many-as he-found of-the Roman
νεῶν (αἱ γὰρ τῶν Ἰταλῶν τριήρεις τε καὶ ὁλκάδες εὐθὺς
ships the for of-the Italians triremes both and merchantmen at-once

βιασάμεναι ταύτας ἀνήχθησαν ἐς τὸ πέλαγος), τὰς
having-forced these(-ones) put-out to the open-sea the(-ones)
μὲν κατέδυσεν αὐτοῦ, τὰς δὲ αὐτάνδρους ἔλαβε· καὶ
indeed he-sank there the(-ones) and with-their-crews he-took and
ἐποκείλας τὰς ναῦς ταῖς βασιλικαῖς καλουμέναις πύλαις, ἔτι
having-beached the ships at-the royal called gates still
κεκλεισμένας εὑρὼν διαρρήσσει τε τὰ τούτων κλεῖθρα καὶ
shut having-found breaks both the of-these bars and
τοὺς μοχλοὺς καὶ καταβάλλει ταύτας, καὶ ἐσελθὼν μετὰ τῆς
the bolts and throws-down them and having-entered with the
στρατιᾶς ἐν τῇ πόλει, εὑρίσκει πολλοὺς ἐκεῖσε τῶν Ῥωμαίων
army into the city finds many there of-the Romans
ξυνισταμένους καὶ ἐς ἀλκὴν τραπομένους (οὔπω γὰρ ἐφθάκει
gathering and to resistance turned not-yet for had-arrived
πρὸς τοῦτο τὸ μέρος ἡ κατὰ γῆν στρατιὰ ληιζομένη τὴν
at this the part the by land army plundering the
ἄλλην πόλιν), καὶ ξυμβαλὼν αὐτοῖς τρέπεται καὶ φονεύει
other city and having-engaged them routs and slaughters
πάντας αὐτοῦ, ὥστε διὰ τῶν πυλῶν αἷμα ῥυῆναι πολύ.
all there so-that through the gates blood to-flow much
66.1 Ἐν τούτῳ δὲ καὶ ἡ ἄλλη στρατιὰ ἐφθάκει, ὁμοίως δὲ καὶ
in this and also the other army had-arrived likewise and also
διὰ τῶν ἄλλων παραλίων πυλῶν ἐσεχέοντο λαμπρῶς,
through the other seaside gates poured-in brilliantly
ταύτας ξυγχλῶντες καὶ καταβάλλοντες, καὶ οὕτως ἅπαν
them breaking and throwing-down and so all
τὸ στράτευμα τῶν νεῶν ἤδη σκεδασθὲν ἀνὰ πᾶσαν τὴν
the force of-the ships already scattered through all the
πόλιν τρέπεται ἐς διαρπαγὴν, ληϊζόμενον πάντα τὰ ἐν
city turns to plunder pillaging all the(-things) at
ποσὶ καὶ δίκην ἐμπίπτον πυρὸς ἢ σκηπτοῦ καὶ ἐμπιπρῶν
feet and like falling-upon of-fire or of-thunderbolt and burning

πάντα καὶ ἀφανίζον, ἢ χειμάρρου δίκην ἅπαντα παρασῦρον
all and blotting-out or of-torrent like all sweeping-away
καὶ διαφθεῖρον· καὶ γὰρ οὗτοι πάντα διηρευνήσαντο
and destroying and for these all searched
ἀκριβέστερον ἢ Δᾶτις, φασὶ, τὴν Ἐρετρικὴν, ναοὺς,
more-exactly than Datis they-say the Eretrian(-land) temples
ἱερὰ, θήκας τε παλαιὰς καὶ τάφους ἀναρρηγνύντες,
sacred(-places) tombs both ancient and graves breaking-open
στοάς τε ὑπογείους καὶ καταδύσεις καὶ χρησφύγετα
galleries both underground and recesses and hiding-places
καὶ ἄντρα καὶ χηραμοὺς καὶ ἄλλο πᾶν κεκρυμμένον
and caves and holes and other all hidden
ἀνερευνῶντες καὶ εἴ πού τις ἤ τι ἦν κεκρυμμένον, ἐς
searching and if somewhere anyone or anything was hidden to
φῶς ἐξάγοντες. Ἐς δὲ τὸν μέγιστον ἐσελθόντες τῆς τοῦ θεοῦ
light bringing-out into and the greatest having-entered of-the — of-God
Σοφίας νεὼν, εὗρον ἐκεῖ πολύ τι πλῆθος ἀνδρῶν τε καὶ
Wisdom temple they-found there great some multitude of-men both and
γυναικῶν καὶ παίδων καταφυγόντας τε καὶ θεοκλητοῦντας·
women and children having-fled both and calling-on-God
οὓς καὶ δίκην σαγήνης ξυγκλείσαντες παρεστήσαντο
whom also like of-net having-shut-in they-brought-to-terms
πάντας ὁμολογίᾳ, καὶ ἀπήγαγον αἰχμαλώτους, τοὺς μὲν
all by-agreement and led-away captives the(-ones) indeed
ἐς τὰς τριήρεις, τοὺς δὲ ἐς τὸ στρατόπεδον.
to the triremes the(-ones) and to the camp
Ἐν τούτῳ δὲ καὶ οἱ ἐν τῷ Γαλατᾷ, ὡς εἶδον τὴν πόλιν 67.1
in this and also the(-ones) in — Galata when they-saw the city
ἐχομένην ἤδη καὶ διαρπαζομένην, εὐθὺς προσεχώρησαν
held already and plundered at-once surrendered
ὁμολογίᾳ τῷ βασιλεῖ ἐπὶ τῷ μηδέν τι κακὸν παθεῖν,
by-agreement to-the emperor on the(-terms) nothing any evil to-suffer

καὶ ἀνοίξαντες τὰς πύλας ἐσεδέχοντο τὸν Ζάγανον μετὰ τῆς
and having-opened the gates received — Zaganos with the
στρατιᾶς, καὶ αὐτοὶ οὐδὲν ὅλως ἠδίκηντο. Ἡ δὲ στρατιὰ
army and themselves nothing at-all were-wronged the and army
πᾶσα, ἥ τε κατὰ γῆν ἥ τε κατὰ θάλασσαν, ἐσχυθεῖσα ἐς
all the both by land the both by sea having-poured into
τὴν πόλιν ἀπὸ πρωίας βαθείας καὶ αὐτοῦ τοῦ περιόρθρου
the city from morning deep and very the dawn
μέχρι δείλης ὀψίας ἐληίζετο καὶ διηρπάζετο ταύτην,
until late-afternoon late pillaged and plundered it
ἐκφοροῦσα πᾶσαν τὴν λείαν ἐς τὸ στρατόπεδον, τήν δὲ
carrying-out all the booty to the camp the(-booty) and
καὶ ἐς τὰς ναῦς· ἔστιν ἃ δὲ ταύτης καὶ διαρπάζοντες
also to the ships it-is which and of-it also plundering
ἔνιοι ὥσπερ φῶρες καὶ λαθραίως ἐξιόντες τῶν πυλῶν
some as thieves and secretly going-out of-the gates
ἀπήεσαν ἐς τὰ οἴκοι. Οὕτω δὲ πᾶσαν ταύτην ἐκένωσε
departed to the(-places) at-home so and all it it-emptied
καὶ ἠρήμωσε καὶ πυρὸς δίκην ἠφάνισε καὶ ἡμαύρωσεν ὥσθ'
and desolated and of-fire like blotted-out and darkened so-that
ὅλως ἀπιστηθῆναι εἰ καὶ ἦν ἐν αὐτῇ ποτε ἢ ἀνθρώπων
wholly to-be-disbelieved if also there-was in it ever either of-men
οἴκησις ἢ πλοῦτος ἢ περιουσία πόλεως ἢ ἄλλη τις κατ'
dwelling or wealth or abundance of-city or other any in
οἶκον κατασκευή τε καὶ περιφάνεια, καὶ ταῦτα οὕτω
house equipment both and splendor and these(-things) so
λαμπρᾶς καὶ μεγάλης ὑπαρχούσης πόλεως· οἶκοι δὲ μόνον
brilliant and great being city houses and only
ἐναπελείφθησαν ἔρημοι καὶ φόβον παρέχοντες τοῖς ὁρῶσι
were-left-behind deserted and fear providing to-the(-ones) seeing
διὰ τὴν ἐρημίαν πολύν. Ἀπέθανον δὲ τῶν μὲν Ῥωμαίων
because-of the desolation much died and of-the indeed Romans

καὶ τῶν ξένων, ὡς ἐλέγοντο, παρ᾽ ὅλον τὸν πόλεμον καὶ ἐν
and of-the foreigners as were-said through whole the war and in
αὐτῇ δὴ τῇ ἁλώσει ξύμπαντες, ἄνδρες, φημὶ, καὶ γυναῖκες
very indeed the capture all-together men I-mean and women
καὶ παῖδες, ἐγγύς που τετρακισχίλιοι· ἐλήφθησαν δὲ
and children near somewhere four-thousand were-taken and
καὶ αἰχμάλωτοι ὀλίγῳ πλείους πεντάκις μυρίων, τῆς
also captives a-little more five-times than-ten-thousand of-the
δὲ στρατιᾶς ἁπάσης ἀμφὶ τοὺς πεντακοσίους.
and army whole about the five-hundred
Ὁ δὲ βασιλεὺς μετὰ ταῦτα ἐσελθὼν ἐς τὴν πόλιν, 68.1
the and emperor after these(-things) having-entered into the city
κατεθεᾶτο τό τε μέγεθος καὶ τὴν θέσιν αὐτῆς, τήν τε
viewed the both size and the position of-it the both
λαμπρότητα καὶ καλλονὴν, τό τε πλῆθος καὶ μέγεθος καὶ
brilliance and beauty the both multitude and size and
κάλλος τῶν τε ναῶν καὶ τῶν δημοσίων οἰκοδομημάτων,
beauty of-the both temples and of-the public buildings
τῶν τε ἰδιωτικῶν οἰκιῶν καὶ κοινῶν καὶ τῶν ἐν
of-the both private houses and public and of-the(-ones) in
δυνάμει ὄντων τὴν πολυτέλειαν, ἔτι δὲ τήν τε τοῦ
power being the costliness further and the both of-the
λιμένος θέσιν καὶ τῶν νεωρίων καὶ τὸ πρὸς πάντα
harbor position and of-the dockyards and the for all
ἐπιτηδείως ἔχειν τὴν πόλιν καὶ εὐφυῶς, καὶ ἁπλῶς πᾶσαν
suitably to-be the city and naturally and simply all
αὐτῆς τὴν κατασκευὴν καὶ τὸν κόσμον. Ἑώρα δὲ καὶ
of-it the construction and the ornament he-saw and also
τὸ πλῆθος τῶν ἀπολλυμένων καὶ τὴν ἐρήμωσιν τῶν
the multitude of-the(-ones) perishing and the desolation of-the
οἰκιῶν καὶ τὴν παντελῆ φθορὰν αὐτῆς καὶ τὸν ὄλεθρον·
houses and the complete destruction of-it and the ruin

καὶ οἶκτος αὐτὸν εὐθὺς ἐσήει καὶ μετάμελος οὐ μικρὸς
and pity him at-once came-upon and regret not small
τῆς ἀπωλείας τε καὶ διαρπαγῆς, καὶ δάκρυον ἀφῆκε τῶν
of-the destruction both and plunder and tear he-let-fall from-the
ὀφθαλμῶν, καὶ μέγα στενάξας τε καὶ περιπαθές, "οἷαν,
eyes and greatly having-groaned both and with-deep-feeling what-a
ἔφη, πόλιν ἐς διαρπαγὴν καὶ ἐρήμωσιν ἐκδεδώκαμεν·"
he-said city to plunder and desolation we-have-given-up
οὕτως ἔπαθε τὴν ψυχήν. Καὶ γὰρ ὄντως πάθος μέγα
so he-suffered in-the soul and for truly suffering great
τοῦτο γέγονεν ἐφ' ἡμῶν ἐν μιᾷ δὴ ταύτῃ πόλει οἷον ἐν
this has-become in our(-time) in one indeed this city such-as in
οὐδεμιᾷ τῶν πάλαι μνημονευομένων τε καὶ ἱστορουμένων
none of-the anciently remembered both and recorded
μεγάλων πόλεων μεγέθει τε τῆς ἁλούσης πόλεως καὶ
great cities by-size both of-the captured city and
ὀξύτητι καὶ ἀποτομίᾳ τοῦ ἔργου· οὐχ ἥκιστα δὲ πάντας
by-sharpness and by-severity of-the work not least and all
ἐξέπληξε τούς τε ἄλλους καὶ αὐτοὺς δὴ τοὺς δράσαντας
it-astonished the both others and very indeed the(-ones) having-done
καὶ παθόντας τῷ τε παραλόγῳ καὶ ἀήθει τοῦ γεγονότος
and having-suffered by-the both unexpectedness and strangeness of-the having-happened
καὶ τῷ ὑπερβάλλοντι καὶ ξενίζοντι τοῦ δεινοῦ. Ἑάλω
and by-the excess and outlandishness of-the terror was-taken
Τροία, ἀλλ' ὑπὸ Ἑλλήνων καὶ δέκα ἔτη πολεμουμένη,
Troy but by Hellenes and ten years being-warred-upon
ὥστε εἰ καὶ τῷ πλήθει τῶν τε ἀπολλυμένων τῶν τε
so-that if also in-the multitude of-the both perishing of-the both
ἑαλωκότων οὐ μείων ἦν ἡ ξυμφορὰ, εἰ μὴ καὶ μείζων
captured not less was the calamity if not even greater
εἰπεῖν, ἀλλὰ καὶ ἄμφω ταῦτα ἔφερέ τινα κουφισμὸν καὶ
to-say yet also both these(-things) brought some lightening and

παραμυθίαν αὐτῇ· οἵ τε γὰρ Ἕλληνες φιλανθρωπότερον
consolation to-it the both for Hellenes more-humanely
τοῖς ἑαλωκόσι προσεφέροντο, τὰς κοινὰς αἰδούμενοι τύχας,
to-the captured behaved the common revering fortunes
ὅ τε συνεχὴς πόλεμος καὶ μακρὸς καὶ τὸ καθ' ἡμέραν
the both continuous war and long and the by day
τὴν ἅλωσιν προσδοκᾶν παρήρηται τὴν ἀκριβῆ τούτων
the capture to-expect has-taken-away the exact of-these
αἴσθησιν τῶν δεινῶν· τὸ δὲ παρὸν ἀπαραμύθητον ὅλως.
perception of-the terrors the but present without-consolation altogether
Ἑάλω Βαβυλὼν ὑπὸ Κύρου, ἀλλ' οὐδὲν ἐς τὰ καίρια
was-taken Babylon by Cyrus but in-nothing in the vital(-parts)
παραβλαβεῖσα, οὐδ' αἰχμαλωσίᾳ δουλεύσασα, οὐδ' ὕβρει
harmed nor by-captivity enslaved nor to-outrage
γυναικῶν ἐκδοθεῖσα καὶ παίδων, ἀλλ' ἢ μόνον δεσπότην
of-women given-over and of-children but — only master
ἀλλάξασα, καὶ τοῦτον χρηστὸν ἀντὶ πονηροῦ.
having-exchanged and this(-one) good instead-of wicked
Ἑάλω Καρχηδὼν ὑπὸ Σκηπίωνος δίς, ἀλλὰ τὸ μὲν
was-taken Carthage by Scipio twice but the indeed
πρῶτον ὁμήρους δοῦσα καὶ τὰς δαπάνας τοῦ πολέμου
first hostages having-given and the expenses of-the war
παρασχομένη, ἐς χρήματα (καὶ) μόνα τὴν ζημίαν ἐδέξατο,
having-provided in money and alone the loss received
τὸ δὲ δεύτερον μικρὸν ἀπωτέρω μετοικισθεῖσα ξὺν γυναιξὶ
the and second a-little farther having-been-resettled with wives
καὶ παισὶ καὶ τοῖς ὑπάρχουσι πᾶσι καὶ τοὺς οἰκήτορας
and children and the possessions all and the inhabitants
ἔχουσα σῶς καὶ κακῶν ἀπαθεῖς οὐδὲν τοσοῦτον ὑπέστη
having safe and of-evils unharmed nothing so-great underwent
δεινόν. Ἑάλω Ῥώμη, τὸ μὲν πρῶτον ὑπὸ Κελτῶν
terrible(-thing) was-taken Rome the indeed first by Celts

τε καὶ Γαλατῶν, ὑπὸ Γότθων τὸ δεύτερον· ἀλλ᾽ οὐδὲν
both and Gauls by Goths the second but nothing
τοσοῦτον παθοῦσα δεινὸν, ἀλλ᾽ ἢ μόνον τυραννηθεῖσα
so-great having-suffered terrible but — only having-been-tyrannized
μικρὸν καὶ χρήμασι ζημιωθεῖσα καὶ πλούτῳ καὶ δημεύσει
a-little and in-money having-been-penalized and in-wealth and confiscation
τῶν πρώτων οἰκιῶν καὶ ὑπερορίᾳ τῶν ἐνδόξων ἀνδρῶν,
of-the first houses and banishment of-the illustrious men
καὶ πάλιν μικρὸν ὕστερον ἑαυτὴν ἀνακτησαμένη, ἐπὶ μέγα
and again a-little later itself having-recovered to great
δόξης ἤρθη καὶ πλούτου καὶ δυναστείας καὶ τύχης. Ἑάλω
of-glory was-raised and of-wealth and of-power and of-fortune was-taken
Ἱεροσόλυμα τρίς, ὑπ᾽ Ἀσσυρίων τὸ πρῶτον, ὑπ᾽ Ἀντιόχου
Jerusalem thrice by Assyrians the first by Antiochus
τὸ δεύτερον, ὑπὸ Ῥωμαίων τὸ τρίτον· ἀλλὰ τὸ μὲν πρῶτον
the second by Romans the third but the indeed first
μετοικίαν μόνην ὑπέστη ξὺν γυναιξὶ καὶ τέκνοις καὶ τοῖς
resettlement only underwent with wives and children and the
ὑπάρχουσι πᾶσιν ἐς Βαβυλῶνα· ὑπ᾽ Ἀντιόχου δὲ μικρὸν
possessions all to Babylon by Antiochus and a-little
τυραννηθέντες πάλιν εἶχον τὴν πόλιν· ὑπὸ δὲ Ῥωμαίων εἰ
having-been-tyrannized again they-had the city by and Romans if
καὶ τὰ πάθη τῆς ἁλώσεως ἦσαν οὐ φορητὰ, ἀλλὰ στάσεις
also the sufferings of-the capture were not bearable yet factions
τε ἦσαν ἐν αὐτῇ πολλαὶ καὶ δειναὶ καὶ ἐμφύλια καὶ
both were in it many and terrible and civil(-wars) and
διαρπαγαὶ καὶ σφαγαὶ καὶ φόνοι τῶν ἐνοικούντων τε καὶ
plunderings and slaughters and murders of-the inhabitants both and
τῶν οἰκειοτάτων ἀνόσιοι καὶ πρὸ τοῦ πολέμου καὶ ἐν αὐτῷ
of-the nearest unholy both before the war and in very
τῷ πολέμῳ, ὥστε καὶ ἐν εὐχαῖς ἦν αὐτοῖς πολλάκις τὸ
the war so-that even in prayers was for-them often the

τὴν πόλιν ἁλῶναι, ἀπαλλαγὴν ἐκ τούτου τῶν μεγίστων
the city to-be-taken release from this from-the greatest
κακῶν οἰομένοις εὑρέσθαι ἢ τῷ θανάτῳ ἢ τῇ δουλείᾳ.
evils thinking to-find either by-the death or by-the slavery
Οὕτως οὐδὲν τὰ τῶν πόλεων ἐκείνων πτώματα πρὸς τὸ
so nothing the of-the cities those falls to the(-fall)
ταύτης εἰσὶν οἷα καὶ παραβάλλεσθαι. Καὶ ἄλλαι δὲ πόλεις
of-this are such-as even to-be-compared and other too cities
πολλαὶ καὶ μεγάλαι ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ ἑάλωσαν, καὶ
many and great in both Asia and Europe were-taken both
πλούτῳ καὶ δόξῃ καὶ σοφίᾳ καὶ ἀρετῇ τῶν ἐνοικούντων
in-wealth and glory and wisdom and virtue of-the inhabitants
καὶ πολλοῖς ἄλλοις ἀνθοῦσαι τοῖς ἀγαθοῖς, ἀλλ᾽ οὐδὲ τὰ
and many other flourishing the goods but not-even the
τούτων πτώματα λόγον ἔχει πρὸς τὰ παρόντα δεινά.
of-these falls account has toward the present terrors
Ἑάλω καὶ ἡ δυστυχὴς αὕτη πόλις πρώην παρὰ τῶν 69.1
was-taken also the unfortunate this city formerly by the
ἑσπερίων γενῶν, ἑξήκοντα ἔτη τυραννουμένη, καὶ πλοῦτον
western races sixty years being-tyrannized and of-wealth
ἀφηρέθη πολὺν καὶ ἀναθήματα τῶν ἱερῶν πλεῖστα καὶ
was-deprived much and offerings of-the sacred(-places) very-many and
κάλλιστα καὶ πολυτελῆ, καὶ τὰ λαμπρὰ καὶ σεμνὰ καὶ
finest and costly and the brilliant and august and
περιμάχητα ταύτης θεάματα καὶ ἀκούσματα τὰ μὲν ἐς
fought-over of-it sights and hearings the(-ones) indeed to
ἑσπέραν μετεκομίσθη, τὰ δ᾽ ἐν αὐτῇ τῇ πόλει πυρὸς
west were-carried-off the(-ones) and in very the city of-fire
γέγονε παρανάλωμα· ἀλλὰ μέχρι τούτων ἦν αὐτῇ ἡ ζημία
became consumption but as-far-as these was for-it the loss
καὶ τὸ δεινόν· εἰ μὴ δὲ ταῦτα μικρὰ, τῶν οἰκητόρων
and the terror if not and these small(-things) of-the inhabitants

δὲ οὐδένα ἀποβεβλήκει, οὐδ' ἐς παῖδας καὶ γυναῖκας
but none it-had-lost nor in children and wives
καὶ τὰ τιμιώτατα παρεβλάβη, ἀλλ' εἶχε πάντας τοὺς
and the most-precious(-things) was-harmed but it-had all the
ἐνοικοῦντας ἀσινεῖς ὅλως καὶ κακῶν ἀπαθεῖς· καὶ πάλιν
dwellers unharmed wholly and of-evils untouched and again
ἀπωσαμένη τὴν τυραννίδα καὶ ἑαυτὴν ἀνακτησαμένη ἐς τὴν
having-thrust-off the tyranny and itself having-recovered to the
προτέραν ἦκε κατάστασιν, καὶ βασίλειον ἦν καὶ γενῶν ἦρχε
former came state and royal-seat was and races ruled
πολλῶν ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ καὶ νήσων οὐκ ὀλίγων,
many in both Asia and Europe and islands not few
καὶ ἐν περιφανείᾳ καὶ πλούτῳ καὶ δόξῃ καὶ λαμπρότητι
and in splendor and wealth and glory and brilliance
ἦν, καὶ τῶν καλῶν ἁπάντων ἡγεμὼν καὶ παράδειγμα,
was and of-the fine(-things) all leader and pattern
καὶ λόγων ἦν ἑστία καὶ παιδείας ἁπάσης καὶ σοφίας
and of-letters was hearth and of-learning all and of-wisdom
καὶ ἀρετῆς καὶ πάντων τῶν καλλίστων ὁμοῦ. Νῦν δ'
and of-virtue and of-all the finest(-things) together now but
ὄντως ἐξήκει τὰ κατ' αὐτὴν, καὶ τὰ καλὰ
truly has-come-to-an-end the(-things) concerning it and the fine(-things)
ξυλλήβδην ἔρρει, καὶ ἀφήρηται πάντων, πλούτου,
all-together are-gone and it-has-been-deprived of-all of-wealth
δόξης, ἀρχῆς, περιφανείας, τιμῆς, γένους λαμπρότητος,
glory rule splendor honor race brilliance
ἀρετῆς, παιδείας, σοφίας, ἱερωσύνης, βασιλείας, πάντων
virtue learning wisdom priesthood kingship all
ἁπλῶς· καὶ ὅσον ἐς ἄκρον εὐδαιμονίας καὶ τύχης
simply and as-far-as to height of-prosperity and fortune
ἤλασε, τοσοῦτον ἐς πυθμένα δυστυχίας καὶ κακοδαιμονίας
it-drove so-far to bottom of-misfortune and wretchedness

κατήχθη· καὶ μακαρισθεῖσα πρώην ὑπὸ πολλῶν,
it-was-brought-down and having-been-called-blessed formerly by many
νῦν ὑπὸ πάντων δυστυχὴς καὶ βαρυδαίμων ἀκούει· καὶ
now by all unfortunate and ill-fated is-called and
μέχρι τερμάτων τῆς οἰκουμένης προελθοῦσα τῇ δόξῃ,
to ends of-the inhabited-world having-gone-forth in-the glory
νῦν πᾶσαν ὁμοῦ γῆν τε καὶ θάλασσαν μεστὴν πεποίηκε
now all together land both and sea full has-made
τῶν ἑαυτῆς ξυμφορῶν καὶ τῆς ἰδίας ἀδοξίας ἐνέπλησε,
of-the its-own calamities and of-the own disgrace filled
πανταχοῦ τῆς αὐτῆς κακοδαιμονίας ὑπομνήματα φέρουσα
everywhere of-the same wretchedness reminders bearing
τοὺς οἰκήτορας, ἄνδρας ὁμοῦ καὶ γυναῖκας καὶ παῖδας
the inhabitants men together and women and children
διασπαρέντας αἰσχρῶς ἐπ᾽ αἰχμαλωσίᾳ καὶ δουλείᾳ καὶ
scattered shamefully in captivity and slavery and
ὕβρει· καὶ ἡ πολλῶν γενῶν ἐπάρξασα πρότερον μετὰ
outrage and the(-city) of-many races having-ruled before with
τιμῆς καὶ δόξης καὶ πλούτου καὶ περιφανείας λαμπρᾶς,
honor and glory and wealth and splendor brilliant
νῦν ὑφ᾽ ἑτέρων ἄρχεται μετὰ πενίας καὶ ἀδοξίας καὶ
now by others is-ruled with poverty and disgrace and
ἀτιμίας καὶ δουλείας αἰσχίστης· καὶ παράδειγμα πάντων
dishonor and slavery most-shameful and pattern of-all
οὖσα καλῶν καὶ λαμπρᾶς εὐδαιμονίας εἰκὼν, νῦν εἰκών
being fine(-things) and of-brilliant prosperity image now image
ἐστι δυστυχίας καὶ μεγίστων ξυμφορῶν ὑπόμνημα καὶ
is of-misfortune and of-greatest calamities reminder and
στήλη κακοδαιμονίας καὶ μῦθος τῷ βίῳ. Οὕτως οὐδὲν
pillar of-wretchedness and myth for-the life so nothing
τῶν ἀνθρωπίνων πιστὸν οὐδὲ βέβαιον, ἀλλὰ πάντα δίκην
of-the human(-things) trustworthy nor firm but all like

εὐρίπου ἄνω καὶ κάτω στροβεῖται καὶ περιφέρεται ταῖς
of-a-euripus up and down is-whirled and is-carried-around by-the
ἀγχιστρόφοις τοῦ βίου μεταβολαῖς, παίζοντα καὶ παιζόμενα
quick-turning of-the life changes playing and being-played
παρὰ μέρος, καὶ οὐδέποτε στήσεται τῆς ἀτάκτου ταύτης
in turn and never will-stand-still from-the disorderly this
καὶ ῥοώδους φορᾶς καὶ κινήσεως καὶ τῆς ἀλλοπροσάλλου
and rushing motion and movement and the this-way-and-that
παλιρροίας τε καὶ μεταβολῆς, ἕως ἂν ἐν τοῖς οὖσι
back-flow both and change until — in the things-that-are
τὸ εἶναι ᾖ. Ἐγὼ δὲ καὶ τοῦτο παντὸς μᾶλλον θαυμάσας
the being be I and also this than-all more having-marveled-at
ἔχω, τήν τε γενομένην ξυγκύρησιν τῶν ὀνομάτων καὶ
hold the both having-happened coincidence of-the names and
τὴν τῶν πραγμάτων ἐναντιότητα ἐπὶ τοσαύτης περιόδου
the of-the affairs contrariety over so-great a-cycle
ξυνδραμοῦσαν ἐγγύς που διακοσίων μάλιστα καὶ χιλίων
having-run-together near somewhere of-two-hundred about and a-thousand
ἐτῶν. Κωνσταντῖνος γὰρ εὐτυχὴς βασιλεὺς, Ἑλένης υἱὸς,
years Constantine for fortunate emperor of-Helena son
ἀνέστησέ τε ταύτην καὶ ἐς ἄκρον εὐδαιμονίας καὶ τύχης
raised both it and to height of-prosperity and fortune
ἐπῆρε, καὶ πάλιν ἐπὶ Κωνσταντίνου, δυστυχοῦς
lifted and again in-the-time-of Constantine unfortunate
βασιλέως, Ἑλένης υἱοῦ, ἑάλω τε καὶ ἐς ἐσχάτην δουλείαν
emperor of-Helena son it-was-taken both and into utmost slavery
τε καὶ κακοδαιμονίαν κατήχθη. Καὶ ταῦτα μὲν οὕτω.
both and wretchedness was-brought-down and these(-things) indeed thus
70.1 Αἱ δὲ τριάκοντα τριήρεις, ἃς ὁ τῆς Ῥώμης ἀρχιερεὺς
the and thirty triremes which the — of-Rome high-priest
ἔπεμπε βοηθοὺς τῇ τε πόλει καὶ βασιλεῖ Κωνσταντίνῳ,
sent as-helpers for-the both city and emperor Constantine

καταχθεῖσαι ἐς Χίον κἀκεῖσε πνεύμασιν ἐναντίοις χρησάμεναι,
brought-in to Chios and-there winds contrary having-met
αὐτοῦ περιέμενον, καιρὸν ἐπιτήδειον ἀναμένουσαι· ὡς δὲ
there waited-around time suitable awaiting when but
μετὰ μικρὸν ἐπύθοντο τὴν τῆς πόλεως ἅλωσιν, ὑστερήσασαι
after a-little they-learned the of-the city capture having-come-too-late
τῆς βοηθείας πάλιν ἀπέπλευσαν οἴκοι, μηδὲν ὑπὲρ ὧν
for-the help again sailed-away home nothing of what
ἦκον διαπραξάμεναι. Ἔδει δὲ ἄρα πάντως τὴν δυστυχῆ
they-came having-accomplished it-was-needed and then wholly the unfortunate
ταύτην πόλιν ἁλῶναί τε καὶ κακῶς παθεῖν, καὶ διὰ τοῦτο
this city to-be-taken both and badly to-suffer and because-of this
πάσης ἐπικουρίας πάντοθεν φαινομένης καὶ δυναμένης αὐτῇ
all help from-every-side appearing and being-able for-it
βοηθεῖν, παντάπασιν ἀπεστέρητο· ἀλλὰ δὴ καὶ πάντα
to-help altogether it-had-been-deprived-of but indeed also all
ξυνδεδραμήκει πρὸς τοῦτο, οὕτω τοῦ θείου ἐνδόντος.
had-run-together to this so the divine having-given-way
Ἑάλω τοίνυν ἐπὶ Κωνσταντίνου βασιλέως, ἑβδόμου 71.1
it-was-taken therefore in-the-time-of Constantine emperor seventh
Παλαιολόγων, ἐννάτῃ καὶ εἰκοστῇ φθίνοντος Μαΐου
of-Palaiologoi on-the-ninth and twentieth of-waning May
παρὰ Ῥωμαίοις, ἑξήκοντος ἔτους τῶν ἀπ᾽ ἀρχῆς
among Romans ending year of-the(-years) from beginning
ἑνός τε καὶ ἑξηκοστοῦ παρὰ τοῖς ἐννακοσίοις τε καὶ
one both and sixtieth besides the nine-hundred both and
ἑξακισχιλίοις, ἀπὸ δὲ κτίσεώς τε καὶ ξυνοικήσεως ταύτης
six-thousand from and founding both and settling of-it
ἔτεσι τέτταρσι καὶ εἴκοσι καὶ ἑκατὸν πρὸς τοῖς χιλίοις.
in-years four and twenty and hundred besides the thousand

72.1 Θνήσκει δὲ καὶ βασιλεὺς Κωνσταντῖνος αὐτὸς ἥπερ ἔφην
dies and also emperor Constantine himself as I-said
μαχόμενος, σώφρων μὲν καὶ μέτριος ἐν τῷ καθ' ἑαυτὸν
fighting temperate indeed and moderate in the by himself
βίῳ γενόμενος, φρονήσεως δὲ καὶ ἀρετῆς ἐς ἄκρον
life having-been of-prudence and also of-virtue to height
ἐπιμεμελημένος, ξυνετός τε καὶ τῶν ἄγαν πεπαιδευμένων,
having-taken-care intelligent both and of-the exceedingly educated
κἀν τοῖς πολιτικοῖς δὲ πράγμασι καὶ τοῖς ἐν
also-in the political and affairs and the(-things) in
ἀρχῇ οὐδενὶ τῶν πρὸ αὐτοῦ βασιλέων τῶν πρωτείων
rule to-none of-the before him emperors of-the first-prizes
παραχωρῶν, ὀξὺς μὲν ξυνιδεῖν τὸ δέον παντὸς μᾶλλον,
yielding keen indeed to-perceive the needful than-all more
ὀξύτερος δὲ ἑλέσθαι, δεινὸς εἰπεῖν, δεινὸς δὲ νοῆσαι,
keener and to-choose clever to-speak clever and to-think
δεινότερος δὲ πράγμασιν ὁμιλῆσαι, τῶν μὲν παρόντων
cleverer and with-affairs to-deal of-the indeed present
ἀκριβὴς γνώμων, ἥπερ ἔφη τις ὑπὲρ Περικλέους, τῶν δὲ
exact judge as said someone of Pericles of-the and
μελλόντων ὡς ἐπὶ πλεῖστον τοῦ εἰκότος ἄριστος εἰκαστής,
future as for most of-the likely best guesser
ὑπέρ τε τῆς πατρίδος καὶ τῶν ἀρχομένων πάντα καὶ
for both the fatherland and the subjects all both
ποιεῖν καὶ πάσχειν αἱρούμενος, ὅς γε καὶ τὸν ἐπικείμενον
to-do and to-suffer choosing who at-least also the impending
τῇ πόλει προφανῆ κίνδυνον ὁρῶν αὐτοῖς ὀφθαλμοῖς
on-the city manifest danger seeing with-his-own eyes
καὶ δυνάμενος αὑτὸν ἐκσῶσαι καὶ πολλοὺς ἔχων τοὺς
and being-able himself to-save and many having the(-ones)
πρὸς τοῦτο παρακαλοῦντας, οὐχ ἠθέλησεν, ἀλλ' εἷλε τὸ
to this urging not he-wished but he-chose the

ξυναποθανεῖν τῇ πατρίδι τε καὶ τοῖς ἀρχομένοις, μᾶλλον
to-die-with the fatherland both and the subjects rather
δὲ καὶ προαποθανεῖν αὐτὸς, ὅπως μὴ ταύτην τε ἁλοῦσαν
and also to-die-before himself so-that not it both captured
ἐπίδοι, καὶ τῶν οἰκητόρων τοὺς μὲν σφαττομένους
he-might-see and of-the inhabitants the(-ones) indeed being-slaughtered
ὠμῶς, τοὺς δὲ δορυαλώτους ἀπαγομένους αἰσχρῶς.
cruelly the(-ones) and spear-won led-away shamefully
Ἐπειδὴ γὰρ εἶδε τοὺς πολεμίους βιαζομένους τε αὐτὸν
since for he-saw the enemies forcing both him
καὶ διὰ τοῦ κατερριμμένου τείχους ἐσερχομένους ἐπὶ τὴν
and through the thrown-down wall entering into the
πόλιν λαμπρῶς, εἰπεῖν λέγεται μέγα βοήσας ὑστάτην
city brilliantly to-have-said he-is-said loudly having-shouted last
ταύτην φωνήν· "ἡ πόλις ἁλίσκεται κἀμοὶ ζῆν ἔτι
this cry the city is-being-taken and-for-me to-live still
περίεστιν;" καὶ οὕτως ἐς μέσους τοὺς πολεμίους ὦσαί
remains and so into middle the enemies to-have-thrust
τε ἑαυτὸν καὶ κατακοπῆναι. Οὕτως ἀνὴρ ἀγαθὸς ἦν καὶ
both himself and to-have-been-cut-down so man good he-was and
τοῦ κοινοῦ κηδεμών, δυστυχὴς μέντοι γε παρὰ πάντα
of-the common guardian unfortunate however at-least through all
τὸν βίον αὐτοῦ, κἀν τῷ τέλει δὲ δυστυχέστατος. Τὰ
the life his also-in the end and most-unfortunate the(-things)
μὲν δὴ κατὰ τὴν μεγάλην πόλιν τὴν Κωνσταντίνου
indeed indeed concerning the great city the of-Constantine(-city)
ἐπὶ μέγα δόξης ἀρθεῖσαν καὶ δυναστείας καὶ πλούτου
to great of-glory having-been-raised and of-power and of-wealth
ἔν γε τοῖς κατ' αὐτὴν καιροῖς, καὶ πάσας τὰς πρὸ
in at-least the by it times and all the(-cities) before
αὐτῆς ἀποκρύψασαν πολλῷ τινι καὶ ἀπείρῳ τῷ μέσῳ ἐπί
it having-eclipsed by-much some and boundless the interval in

τε δόξῃ καὶ πλούτῳ καὶ ἀρχῇ καὶ δυνάμει καὶ μεγέθει
both glory and wealth and rule and power and size
καὶ τοῖς ἄλλοις πᾶσι θαυμαζομένην, οὕτως ἐτελεύτησεν.
and the other(-things) all being-admired so ended
73.1 Βασιλεὺς δὲ Μεχέμετις τήν τε πόλιν καὶ τὰ ἐν αὐτῇ
emperor and Mehmed the both city and the(-things) in it
πάντα καλῶς θεασάμενος, ἐπάνεισιν ἐς τὸ στρατόπεδον
all well having-viewed returns to the camp
καὶ διατίθεται τὰ κατὰ τὴν λείαν. Καὶ πρῶτον
and disposes the(-things) concerning the booty and first
μὲν λαμβάνει τὸν ξυνήθη δασμὸν αὑτῷ τῶν λαφύρων,
indeed he-takes the customary share for-himself of-the spoils
ἔπειτα δὲ καὶ ἀριστεῖα ἀπὸ πάντων ἐκλέγεται, παρθένους
then and also prizes from all chooses maidens
τε ὡραίας καὶ τῶν εὖ γεγονότων καὶ παῖδας καλλίστους,
both ripe and of-the well born and children most-beautiful
ἔστιν ἃ δὲ τούτων καὶ ὠνούμενος παρὰ τῶν στρατιωτῶν.
it-is which and of-these also buying from the soldiers
Ἐκλέγεται δὲ καὶ τῶν ἐπιφανῶν ἀνδρῶν οὓς ἐμάνθανε γένει
he-chooses and also of-the illustrious men whom he-learned in-race
τε καὶ φρονήσει καὶ ἀρετῇ διαφέρειν τῶν ἄλλων, καὶ δὴ
both and prudence and virtue to-excel the others and indeed
καὶ Νοταρᾶν αὐτὸν, ἄνδρα τῶν δυνατῶν τε καὶ ἐπιφανῶν
also Notaras himself man of-the powerful both and illustrious
ὄντα ἔν τε ξυνέσει καὶ πλούτῳ καὶ ἀρχῇ καὶ ἀρετῇ
being in both understanding and wealth and rule and virtue
καὶ πολιτικῇ δυνάμει, καὶ τιμᾷ τοῦτον τῇ ἐσόδῳ τῇ
and political power and honors him with-the entry the
παρ᾽ αὐτὸν, καὶ λόγων μεταδίδωσι μειλιχίων καὶ χρησταῖς
to him and words imparts soothing and with-good
ἀνακτᾶται ταῖς ἐλπίσιν, οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ τοὺς
wins-over the hopes not only him but also the

ἄλλους τοὺς μετ᾽ αὐτοῦ· ἐσήει γὰρ αὐτὸν ἔλεος τῶν
others the(-ones) with him came-upon for him pity for-the
ἀνδρῶν καὶ τῆς δυστυχίας αὐτῶν, ἐξ οἵας ἄρα εὐδαιμονίας
men and of-the misfortune of-them from what-sort then prosperity
ἐς οἵαν κακοδαιμονίαν κατήχθησαν· καὶ χρηστὰ περὶ
to what-sort wretchedness they-were-brought-down and good(-things) about
αὐτῶν ἐβουλεύετο, εἰ καὶ ὁ φθόνος μικρὸν οὐκ εἴασεν
them he-planned if even the envy a-little not allowed
ὕστερον. Διαθέμενος δὲ ταῦτά τε καὶ τὰ κατὰ τοὺς
later having-arranged and these(-things) both and the(-things) concerning the
στρατιώτας ἅπαντα καλῶς καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν,
soldiers all well and as was to-him according-to mind
καὶ τιμήσας τοὺς μὲν αὐτῶν ἀρχαῖς τε καὶ ἀξιώμασι,
and having-honored the(-ones) indeed of-them with-offices both and ranks
τοὺς δὲ χρήμασι, τοὺς δὲ σιτηρεσίοις καὶ παντοίοις
the(-ones) and with-money the(-ones) and with-rations and all-kinds
ἄλλοις δώροις, εὖ πεποιηκώς τε καὶ δεξιωσάμενος οὓς ἤδει
other gifts well having-treated both and having-greeted whom he-knew
καλῶς ἀγωνισαμένους, ἔτι τε δημηγορήσας καὶ πολλὰ
well having-contended further both having-barangued and many(-things)
εἰπὼν ἐς ἔπαινον φέροντα καὶ εὐχαριστίαν αὐτῶν, ἀπολύει
having-said to praise tending and thanksgiving of-them he-dismisses
τὴν στρατιάν. Αὐτὸς δὲ μετά γε τῶν ἐν τέλει καὶ τῆς
the army himself and with at-least the(-ones) in office and the
ἰδίας αὐλῆς ἔσεισιν ἐς τὴν πόλιν, καὶ πρῶτον βουλεύεται,
own court enters into the city and first plans
ὅπως ἂν αὐτὴν ξυνοικίσας πάλιν, οὐχ ὅσον ἦν πρότερον,
how — it having-resettled again not as-much-as it-was before
ἀλλὰ καὶ πᾶσαν* εἰδιάαιτο, ὥστε βασίλειον εἶναι αὐτῷ, ἐν
but also whole he-might-arrange so-as royal-seat to-be for-him in
ἐπικαίρῳ γῆς καὶ θαλάσσης κειμένην· ἔπειτα δωρεῖται πᾶσι
vantage of-land and of-sea lying then he-gives to-all

τοῖς τε ἐν τέλει καὶ οἰκείοις οἰκίας τε λαμπρὰς τὰς
the(-ones) both in office and household houses both brilliant the(-ones)
τῶν δυνατῶν καὶ παραδείσους καὶ ἀγροὺς καὶ ἀμπέλους ἔσω
of-the powerful and gardens and fields and vineyards within
τῆς πόλεως, τοῖς δὲ καὶ ναοὺς περικαλεῖς, ὥστε εἶναι
the city to-the(-ones) and also temples very-beautiful so-as to-be
αὐτοῖς ἐς κατοίκησιν. Ἐκλέγεται δὲ καὶ αὐτὸς τὸν μέσον
for-them for dwelling he-chooses and also himself the middle
καὶ κάλλιστον χῶρον τῆς πόλεως ἐς οἰκοδομὴν βασιλείων.
and finest place of-the city for building of-palaces
Μετὰ δὲ τοῦτο, τῶν αἰχμαλώτων ὅσους ἔλαβε δασμὸν ξὺν
after and this of-the captives as-many-as he-took as-share with
γυναιξὶ καὶ παισὶ καθίζει παρὰ τῷ τοῦ λιμένος αἰγιαλῷ τῆς
wives and children he-settles by the of-the harbor shore of-the
πόλεως, θαλασσίους ὄντας, οὓς πρώην Στενίτας ὠνόμαζον,
city seafaring being whom formerly Stenitai they-named
δοὺς αὐτοῖς καὶ οἰκίας καὶ ἀτέλειαν χρόνων ῥητῶν·
having-given to-them both houses and exemption-from-taxes of-times stated
καὶ τοῖς ἄλλοις δὲ πᾶσι τοῦτ' αὐτὸ προκηρύξας, ὅσοι
and to-the others and all this same having-proclaimed as-many-as
τὴν ἰδίαν ὠνὴν καταβαλόντες ἢ ξυνθέμενοι καταβαλεῖν ἐν
the own price having-paid or having-agreed to-pay at
καιρῷ ῥητῷ τοῖς δεσπόταις, βούλοιντ' ἂν κατοικεῖν ἐν τῇ
time stated to-the masters would-wish — to-dwell in the
πόλει, καὶ τούτοις δὴ ἀτέλειαν καὶ οἰκίας παρέσχεν ἢ
city and to-these indeed exemption and houses he-provided either
τῶν ἰδίων ἢ τῶν ἀλλοτρίων. Ἐβούλετο δὲ καὶ τῶν
of-the own(-houses) or of-the others' he-wished and also of-the
ἀρχόντων οὓς ἐξελέξατο κατοικίσαι αὐτοῦ ξὺν γυναιξὶ καὶ
nobles whom he-chose to-settle there with wives and
τέκνοις, παρασχὼν αὐτοῖς καὶ οἰκίας καὶ κτήματα καὶ
children having-provided to-them both houses and possessions and

πρόνοιαν τοῦ ζῆν, καὶ τρόπῳ παντὶ θεραπεῦσαι αὐτούς·
provision of-the to-live and by-way every to-tend them
καὶ ἦν αὐτῷ τοῦτο κατὰ νοῦν τε καὶ διὰ σπουδῆς, ὡς
and was for-him this according-to mind both and with zeal as
ἐλέγετο· τὸν δέ γε Νοταρᾶν καὶ τῆς πόλεως ἐπιστάτην
was-said — and at-least Notaras also of-the city overseer
ἐσκόπει καταστῆσαι καὶ τοῦ ξυνοικισμοῦ ταύτης κύριον,
he-considered to-appoint and of-the resettlement of-it lord
ξυμβούλῳ χρησάμενος αὐτῷ πρότερον περὶ τούτου· ἀλλ᾽
as-counselor having-used him first about this but
ἔφθησαν αὐτοὺς τὰ τοῦ φθόνου βέλη βαλόντα καιρίαν,
forestalled them the of-the envy darts having-struck mortally
καὶ κυροῦται θάνατος ἄδικος κατ᾽ αὐτῶν. Τῶν γὰρ μέγα
and is-ratified death unjust against them of-the for greatly
δυναμένων ἔνιοι, οὐκ οἶδ᾽ ὅθεν, φθόνῳ δὴ καὶ μίσει τῷ
powerful some not I-know whence by-envy indeed and hatred the
πρὸς τοὺς ἄνδρας φερόμενοι ἀναπείθουσι τὸν κρατοῦντα
toward the men borne persuade the ruler
τούτους ἐκ μέσου ποιῆσαι, μὴ δεῖν λέγοντες ἄνδρας
them from the-midst to-make not to-be-needful saying men
Ῥωμαίους καὶ τῶν ἐπιφανῶν μὴ ὅτι γε κατοικεῖν ἐν τῇ
Romans and of-the illustrious not that at-least to-dwell in the
and the — of-John of-the wife brother governor
τοῦ Πελωγράδου ἀπολειφθεὶς πρὸς αὐτοῦ, ἐνεκότει τῷ
— of-Belgrade left-behind by him bore-a-grudge —
Λαζάρῳ δεινῶς, καὶ πάντα τρόπον λοχῶν τε ἦν
against-Lazar terribly and in-every way lying-in-wait both was
αὐτὸν καὶ βουλόμενος ξυλλαβεῖν, μήτε εἰδότος αὐτοῦ μήτε
for-him and wishing to-seize(-him) neither knowing he nor
ἡγησαμένης αἰτίας οὐδεμιᾶς. Λοχήσας οὖν αὐτὸν μετὰ
having-preceded cause any having-ambushed then him after

μικρὸν ἔν τινι τῶν αὐτοῦ φρουρίων ξυλλαμβάνει δόλῳ, καὶ
a-little in one of-the his fortresses seizes(-him) by-guile and
ἐς εἱρκτὴν ἐμβάλλων ἐν Πελωγράδῳ, ἐν φυλακῇ εἶχε
into prison throwing in Belgrade in guard kept(-him)
πολλῇ. Λάζαρος δὲ μὴ ἔχων ἄλλως ἐκεῖθεν ἀποφυγεῖν,
much Lazar and not having otherwise thence to-escape
ἀποδόσθαι αὐτὸν χρυσοῦ ᾔτει τὸν Μιχαῆλον· ὁ δὲ τὸ μὲν
to-sell-back him for-gold asked — Michael he and the indeed
πρῶτον ἀνένευε, χώραν τε αἰτῶν καὶ φρούρια ἐς ἀπόδοσιν
first refused land both asking and fortresses for payment
ἢ καὶ βαρύνειν βουλόμενος τὴν ὠνήν· ὡς δὲ καιροῦ
or also to-make-heavy wishing the price when but time
παρῳχηκότος ἱκανοῦ, μόλις δὴ καὶ πολλὰ παρακληθεὶς·
having-passed sufficient scarcely indeed and much having-been-begged
ἐνέδωκεν ἀπολῦσαι τοῦτον, λαβὼν τρισμυρίους χρυσίνους.
he-consented to-release him having-taken thirty-thousand gold-pieces
Λάζαρος δὲ ἀποσωθεὶς ἐς τὴν ἰδίαν ἀρχὴν, πρὶν ἢ
Lazar and having-got-safe into the own rule before than
γοῦν καὶ μικρὸν ἀναπνεῦσαι τῇ τε λύπῃ κατεργασθεὶς
at-any-rate even a-little to-breathe by-the both grief worn-out
καὶ νόσῳ βαρείᾳ ξυσχεθεὶς τελευτᾷ τὸν βίον, διαδόχους τῆς
and by-disease heavy seized ends the life successors of-the
ἰδίας ἀρχῆς τήν τε γυναῖκα καὶ Λάζαρον καταλιπὼν τὸν
own rule the both wife and Lazar having-left the
υἱόν. Ὁ δὲ κακὸς φανεὶς περὶ τοὺς γεννήσαντας, τόν
son he and bad having-appeared toward the(-ones) having-begotten(-him) the
τε πατέρα ζῶντα ἐν πολλοῖς τε ἄλλοις σφόδρα ἐλύπησε,
both father living in many both other(-things) exceedingly grieved
καὶ δὴ καὶ κατεχόμενον ὑπὸ τοῦ Μιχαήλου ἐν φρουρᾷ
and indeed also held by — Michael in guard
οὐκ ἤθελεν ἀπολύσασθαι καταβαλὼν τὴν ὠνὴν, ἀλλὰ μόλις
not wished to-release having-paid the price but scarcely

που καὶ ξὺν βίᾳ τοῦτο πεποίηκε πολλὰ παρακληθεὶς ὑπὸ
somehow and with force this has-done much having-been-begged by
τῆς μητρός, αὐτήν τε τὴν μητέρα, τελευτήσαντος αὐτῷ
the mother herself both the mother having-died for-him
τοῦ πατρὸς, τῆς τε ἀρχῆς ἀπεστέρησε πάσης καὶ πολλὰ
the father of-the both rule deprived all and much
ἐκάκου, δι᾽ ὄχλου ταύτῃ γινόμενος ὁσημέραι, κλῆρόν
harmed through annoyance to-her becoming daily inheritance
τε ἀπαιτῶν πατρικὸν καὶ βίον ἀπόθετον ὑπ᾽ αὐτῆς
both demanding paternal and livelihood stored-away by her
κεκρυμμένον. Ἡ δὲ μὴ φέρουσα τὴν καθ᾽ ἡμέραν ἐπήρειαν
hidden she and not bearing the by day abuse
τούτου καὶ τὴν ἄλλην ἐπίθεσιν, ἀποδιδράσκει λαθοῦσα
of-him and the other assault runs-away having-escaped-notice
ξύν γε τῇ θυγατρὶ Ἀμηρήσῃ καὶ τῷ πηρῷ υἱῷ Γρηγορίῳ,
with at-least the daughter Amirissa and the maimed son Gregory
ἐπαγομένη καὶ βίον ἅμα πολύν. Λάζαρος δὲ ὁ υἱὸς
bringing-along and livelihood at-once much Lazar and the son
τοῦτο πυθόμενος διώκει κατὰ σπουδὴν, καὶ καταλαμβάνει
this having-learned pursues with haste and overtakes
ταύτας ἔν τινι τῶν φρουρίων τῶν ἑαυτοῦ· οὐδὲ γὰρ
them in one of-the fortresses of-the his-own not-even for
ἔφθησαν ἐς τὴν χώραν καταφυγοῦσαι τοῦ βασιλέως,
they-had-arrived-first into the land having-fled of-the emperor
ἔνθα ἠπείγοντο, ἀλλ᾽ ὁ μὲν Γρηγόριος ξὺν τῇ ἀδελφῇ,
where they-were-hastening but — indeed Gregory with the sister
λαθόντες ἢ καὶ προλαβόντες αὐτόν (λέγεται γὰρ καὶ
having-escaped-notice or also having-outrun him it-is-said for also
ἄμφω), ἀποδιδράσκουσι καὶ καταφεύγουσιν ἔν τινι τῶν
both run-away and flee into one of-the
φρουρίων τοῦ βασιλέως, καὶ μετὰ ταῦτα παραγενόμενοι
fortresses of-the emperor and after these(-things) having-come

ἐς βασιλέα, δέχονταί τε παρ᾽ αὐτοῦ ἀσμένως, καὶ τιμῆς
to emperor are-received both by him gladly and of-honor
ἀξιοῦνται καὶ προνοίας τῆς προσηκούσης· ἡ δὲ μήτηρ,
are-deemed-worthy and of-provision the fitting the and mother
αὐτοῦ καταλειφθεῖσα δι᾽ ἀδυναμίαν τοῦ γήρως, μετὰ
there left-behind because-of weakness of-the old-age after
μικρὸν καὶ αὐτὴ κατεργασθεῖσα τῇ λύπῃ καὶ μικρὸν
a-little also herself worn-out by-the grief and a-little
νοσήσασα τελευτᾷ τὸν βίον, καὶ θάπτεται αὐτοῦ.
having-been-ill ends the life and is-buried there
Λάζαρος δὲ ὁ υἱὸς τελέσας ἐπ᾽ αὐτῇ τὰ νενομισμένα
Lazar and the son having-performed over her the customary(-rites)
καὶ λαβὼν πάντα ὅσα ἐπήγετο μεθ᾽ ἑαυτῆς, ἐπάνεισιν
and having-taken all whatever she-brought with herself returns
ἐς Σαμανδρίαν, καὶ τὴν ἀρχὴν εἶχε μόνος τὴν Τριβαλλῶν,
to Smederevo and the rule held alone the of-Triballians
ὅση κατελέλειπτο, μηδένα τῶν οἰκείων ἔχων ἤδη
as-much-as had-been-left none of-the kin having already
κοινωνόν· τῶν γὰρ ἀδελφῶν, πηρῶν ὄντων, ὁ μὲν,
partner of-the for brothers maimed being the(-one) indeed
ἥπερ ἔφην, ὁ Γρηγόριος, ὑπεξέφυγε ξὺν τῇ ἀδελφῇ,
as I-said — Gregory escaped with the sister
Στέφανος δὲ αὐτοῦ μένων ἡσύχαζε. Λάζαρος δὲ, ἅτε νέος
Stephen and there remaining kept-quiet Lazar and as young
ὢν καὶ τοῦ ἄρχειν ἀπείρατος, καὶ μηδένα χρηστὸν ὅλως
being and of-the to-rule inexperienced and no good at-all
ἄνδρα καὶ ξυνετὸν ἔχων ἐν τοῖς πράγμασιν, ἢ, εἰ καὶ
man and intelligent having in the affairs or if also
εἶχε, μὴ παρακολουθῶν ἢ πειθόμενος ὅλως, οὐ διῴκει
he-had not following or obeying wholly not administered
καλῶς τὴν ἀρχὴν, ἀλλ᾽ ἐνόσει τὰ Τριβαλλῶν, καὶ
well the rule but was-sick the(-affairs) of-Triballians and

ἐν ξυγχύσει ἦν καὶ ἀταξίᾳ πολλῇ. Διὸ δὴ καὶ ἔν τε
in confusion was and disorder much wherefore indeed also in both
ἄλλοις πολλοῖς ἐσφάλλετο καὶ οὐχ ἥκιστα δὴ τῷ μὴ
other many(-things) he-failed and not least indeed in-the not
ἀποδιδόναι τοὺς ξυνήθεις φόρους τῷ βασιλεῖ· ἐφ' ᾧ δὴ
to-pay the customary tributes to-the emperor at which indeed
καὶ μᾶλλον ὠργίζετο αὐτῷ ὁ βασιλεὺς, καὶ ἐν παρασκευῇ
also more was-angry with-him the emperor and in preparation
ἦν ἅμα ἦρι ἐσβαλεῖν ἐς τὴν αὐτοῦ. Ὅμως γε
was at-once with-spring to-invade into the his(-land) nevertheless at-least
μὴν καὶ οὗτος μικρὸν ἐπιβιοὺς τῇ ἀρχῇ, νοσήσας
indeed also this-one a-little having-survived in-the rule having-been-ill
τελευτᾷ τὸν βίον, διαδόχους καταλιπὼν τῆς ἀρχῆς τήν
ends the life successors having-left of-the rule the
τε γυναῖκα καὶ παῖδα θήλειαν οὔπω ἔφηβον ἔτι.
both wife and child female not-yet of-age still
Βασιλεὺς δὲ τὸν θάνατον τοῦ Λαζάρου πυθόμενος, αὐτίκα 21.1
emperor and the death — of-Lazar having-learned at-once
στρατιὰν ἐκπέμπει Ἀλῇ τῷ τῆς χώρας σατράπῃ κελεύων
army sends-out to-Ali the of-the land satrap ordering
αὐτὸν κατὰ τάχος ἐς τὴν τοῦ Λαζάρου χώραν ἐμβαλεῖν
him with speed into the — of-Lazar land to-invade
καὶ πᾶσαν καταδραμεῖν καὶ χειρώσασθαι. Ὁ δὲ τὴν
and all to-overrun and to-subdue he and the
στρατιὰν ταύτην δεξάμενος καὶ ἑτέραν οὐκ ὀλίγην ἐκ τῆς
army this having-received and another not small from the
αὐτοῦ σατραπείας ἀθροίσας, κατατρέχει τὴν λοιπὴν πᾶσαν
his satrapy having-gathered overruns the rest all
τῶν Τριβαλλῶν καὶ χειροῦται, καὶ πόλεις καὶ φρούρια καὶ
of-the Triballians(-land) and subdues and cities and fortresses and
πᾶσαν τὴν ἄλλην χώραν ποιεῖται ὑφ' ἑαυτῷ. Προσελάσας
all the other land makes under himself having-ridden-up

δὲ τῇ Σαμανδρίᾳ πρῶτον μὲν λόγους προσφέρει περὶ
and — to-Smederevo first indeed words he-brings about
ξυμβάσεων τῇ τε βασιλίδι καὶ τοῖς ἐν τέλει, εἰ
agreements to-the both queen and to-the(-ones) in office if
βούλοιντο, παραδόντες τὸ ἄστυ τῷ βασιλεῖ, τὴν λοιπὴν
they-would-wish having-handed-over the town to-the emperor the rest
πᾶσαν χώραν αὐτοὶ καρποῦσθαι, βασιλέως ἐνδόντος
all land themselves to-enjoy emperor having-granted
καὶ τὰ πιστὰ διδόντος αὐτοῖς. Ὡς δὲ οὐκ ἐδέξαντο ἐπὶ
and the pledges giving to-them when but not they-accepted on
τούτοις, ἀλλὰ κλείσαντες τὰς πύλας ἐκάθηντο, ὁ Ἀλῆς
these(-terms) but having-shut the gates sat — Ali
κύκλῳ περιλαβὼν αὐτοὺς τῷ στρατῷ καὶ κατακλείσας
in-circle having-surrounded them with-the army and having-shut-in
ἰσχυρῶς ἐφρούρει τοῦ μή τι τῶν ἔνδον ἐξαγαγεῖν
strongly guarded(-them) so-that not anything of-the(-things) within to-bring-out
ἢ τῶν ἔξωθεν ἐσκομίσασθαι.
or of-the(-things) from-outside to-bring-in

22.1 Βασιλεὺς δὲ διάγων ἐν Κωνσταντινουπόλει, ξυνῴκιζέ τε
emperor and spending-time in Constantinople resettled both
αὐτὴν καὶ τῶν ἔνδον ἐπεμέλετο ἰσχυρῶς, λουτρά τε
it and of-the(-things) within took-care strongly baths both
κατασκευάζων ἐς κάλλος καὶ χρείαν καὶ μέγεθος ἱκανὰ
constructing for beauty and use and size sufficient
καὶ οἰκίας λαμπρὰς καὶ πανδοκεῖα οἰκοδομῶν καὶ ἀγορὰς
and houses brilliant and inns building and markets
πανταχοῦ ταύτης καὶ καταγωγὰς, ἔτι δὲ παραδείσους
everywhere of-it and lodgings further and gardens
φυτεύων καὶ ὑδάτων ἀφθονίαν ἐσάγων καὶ ὅσα ἄλλα
planting and of-waters abundance bringing-in and whatever other(-things)
κόσμον οἶδε φέρειν καὶ κάλλος αὐτῇ καὶ χρείαν ἀναγκαίαν
ornament know to-bring and beauty to-it and use necessary

καὶ ψυχαγωγίαν τῶν ἐνοικούντων ἅπαντα καθιστάμενος·
and entertainment of-the inhabitants all establishing
οὐ μόνον δὲ, ἀλλὰ καὶ τὰ ἔξω πάντα τῆς χώρας
not only and but also the(-parts) outside all of-the land
ξυνῴκιζεν, ἀποικίζων πολλούς τε τῶν Τριβαλλῶν καὶ
he-resettled transplanting many both of-the Triballians and
Παιόνων καὶ Μυσῶν τῆς αὐτῶν, τοὺς δὲ καὶ
Paionians and Mysians from-the their(-land) the(-ones) and also
ληιζόμενος καὶ κατοικίζων ἐν αὐτῇ. Ἔγνωστο γὰρ αὐτῷ
taking-as-booty and settling in it it-had-been-resolved for by-him
πᾶσαν τὴν ἔξω καὶ πρὸ τῆς πόλεως χώραν ξυνοικίσαι
all the outer and before the city land to-resettle
καλῶς, ἅμα μὲν δι᾽ ἀρετὴν τῆς γῆς (ἔστι γὰρ ἀγαθὴ
well at-once indeed because-of excellence of-the land it-is for good
σπείρειν τε καὶ φυτεύειν καὶ πρὸς ἁπάσας ἐρρωμένη γονὰς
to-sow both and to-plant and for all strong births
καὶ καρποὺς, καὶ τὰ μέγιστα ξυντελέσειν ἔμελλε ταῖς
and fruits and the greatest(-things) to-contribute it-was-going to-the
χρείαις τῆς πόλεως), ἅμα δὲ καὶ τὴν χώραν ἐξημερῶν,
needs of-the city at-once and also the land taming
ἐρήμην τε οὖσαν καὶ ἀοίκητον αὐτῆς τὴν πολλὴν καὶ
desolate both being and uninhabited of-it the most and
τοῖς ὁδοιποροῦσιν ἐπισφαλῆ. Καὶ ὁ μὲν ἐν τούτοις ἦν.
to-the(-ones) traveling dangerous and he indeed in these(-things) was
Νικόλαος δὲ ὁ τῆς Ῥώμης ἀρχιερεὺς κατὰ τὸν αὐτὸν 23.1
Nicholas and the — of-Rome high-priest at the same
χρόνον στρατιὰν ἤθροιζεν ἐς Ἰταλίαν, καὶ στόλον ἐξήρτυε
time army gathered in Italy and fleet fitted-out
διαπόντιον κατὰ τῶν ἐν τῷ Αἰγαίῳ νήσων τοῦ βασιλέως,
overseas against the in — Aegean islands of-the emperor
Ἴμβρου καὶ Λήμνου καὶ τῶν λοιπῶν. Καὶ πληρώσας
Imbros and Lemnos and the rest and having-manned

τριήρεις τριάκοντα καὶ ὁλκάδας δύο τῶν μεγάλων,
triremes thirty and merchantmen two of-the great
καὶ ὁπλίσας καλῶς, στρατιώτας τε τῶν μαχίμων
and having-armed(-them) well soldiers both of-the warlike
ἐπιβιβάσας καὶ ὅπλα παντοῖα ἐνθέμενος καὶ μηχανὰς,
having-put-aboard and arms all-kinds having-put-in and engines
καὶ στρατηγὸν αὐτοκράτορα ἑλόμενος Λοδοβίκον τὸν
and general with-full-power having-chosen Ludovico the
ἀδελφιδοῦν, ὃν καὶ πατριάρχην τῶν ἀνατολικῶν μερῶν
nephew whom also patriarch of-the eastern parts
κατέστησεν, ἅμα ἦρι ἐκπέμπει. Καὶ ὃς ἀναχθεὶς
he-appointed at-once with-spring sends-out and he having-put-out
ἐξ Ἰταλίας ἀφικνεῖται ἐς Ῥόδον, καὶ μικρόν τι
from Italy arrives at Rhodes and a-little something
διατρίψας αὐτοῦ, ἄρας ἐκεῖθεν ἐπιπλεῖ ταῖς νήσοις
having-spent-time there having-set-out thence sails-against the islands
τοῦ βασιλέως, καὶ προσσχὼν τὸ πρῶτον ἐν Λήμνῳ, καὶ
of-the emperor and having-put-in the first at Lemnos and
ἀπόβασιν ποιησάμενος, παρεστήσατο ταύτην ὁμολογίᾳ,
landing having-made brought-to-terms it by-agreement
τῶν τε Λημνίων ἐνδόντων εὐθὺς καὶ τῶν ἐν αὐτῇ
the both Lemnians surrendering at-once and the in it
φυλάκων τοῦ βασιλέως· εἶχε γὰρ ἐν αὐτῇ φρουροὺς
guards of-the emperor he-had for in it guards
ἄνδρας ἑκατὸν μαχίμους τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς
men hundred warlike of-the(-ones) from the own court
νεοδαμωδῶν καὶ ἄρχοντα τούτων τε καὶ τῆς νήσου
newly-enrolled and commander of-these both and of-the island
ξυμπάσης Μωράτην οὕτω καλούμενον. Ἐπιμείνας δὲ τῇ
whole Murad so called having-stayed and —
Λήμνῳ ἡμέρας ὀκτὼ καὶ καταστησάμενος τὰ αὐτοῦ,
on-Lemnos days eight and having-settled the(-things) there

φρουράν τε ἱκανὴν αὐτῇ καὶ φρούραρχον ἐγκαταλιπὼν
garrison both sufficient to-it and fortress-commander having-left
τὸν Λωΐζον, ἄρας ἐκεῖθεν ἐπιπλεῖ τῇ Θάσῳ, καὶ
— Luigi having-set-out thence sails-against — Thasos and
ἀποβὰς λόγους προσφέρει πρῶτον περί τε ξυμβάσεων
having-disembarked words he-brings first about both agreements
καὶ ἐνδόσεως τῆς νήσου τοῖς ἐν τῷ φρουρίῳ τοῦ
and surrender of-the island to-the(-ones) in the fortress of-the
λιμένος. Ὡς δ' οὐκ ἔπειθε, κύκλῳ περιλαβὼν τῇ
harbor when but not he-persuaded in-circle having-surrounded(-it) with-the
στρατιᾷ καὶ πανταχόθεν προσβαλὼν αὐτῷ ἰσχυρῶς καὶ
army and from-all-sides having-attacked it strongly and
κλίμακας ἐπαγαγὼν τῷ τείχει καὶ μηχανὰς, αἱρεῖ κατὰ
ladders having-brought-up to-the wall and engines takes(-it) by
κράτος ἐκ πρώτης προσβολῆς, καὶ τῶν φυλάκων τοὺς
force from first attack and of-the guards the(-ones)
μὲν ἀναιρεῖ, τοὺς δὲ ζῶντας αἱρεῖ· ἦσαν γὰρ ἐν τούτῳ
indeed he-kills the(-ones) and alive takes there-were for in this
φρουροὶ ἄνδρες ἑξήκοντα τοῦ βασιλέως. Καταπλήξας δὲ
guards men sixty of-the emperor having-terrified and
ἰσχυρῶς ἐκ τούτου καὶ τοὺς ἐν τοῖς ἄλλοις πολίσμασι
strongly from this also the(-ones) in the other towns
λαμβάνει καὶ τούτους ὁμολογίᾳ ἑαυτούς τε καὶ τὰ φρούρια
he-takes also these by-agreement themselves both and the fortresses
παραδόντας ἀμαχί. Παραστησάμενος δὲ πᾶσαν τὴν
having-handed-over without-fighting having-brought-to-terms and all the
νῆσον καὶ κατασχὼν τελείως ἐν πεντεκαίδεκα ἡμέραις
island and having-seized(-it) completely in fifteen days
ταῖς ὅλαις, διατίθεται τὰ κατ' αὐτὴν, καὶ φρουρὰν
the whole he-arranges the(-things) concerning it and garrison
ἐγκαταστησάμενος αὖθις ἀπέπλευσεν ἐς Λῆμνον παντὶ τῷ
having-established again sailed-away to Lemnos with-all the

στόλῳ, ἔχων καὶ τοὺς ἄνδρας οὓς ἔλαβε ζῶντας τῶν
fleet having also the men whom he-took alive of-the
φρουρῶν. Γινόμενος δ' ἐν Λήμνῳ ἐκπέμπει δέκα τριήρεις ἐς
guards being and at Lemnos he-sends-out ten triremes to
Ἴμβρον καὶ ἄρχοντα μετ' αὐτῶν Κόντον οὕτω καλούμενον.
Imbros and commander with them Conte so called
Λοδοβίκος δὲ τέτταρας μόνας ἡμέρας ἐπιμείνας τῇ Λήμνῳ
Ludovico and four only days having-stayed — on-Lemnos
τῇ ὑστεραίᾳ ἀναλαβὼν τοὺς ἄνδρας τούς τε ἐκ Λήμνου
on-the next(-day) having-taken the men the(-ones) both from Lemnos
τούς τε ἐκ Θάσου ζωγρηθέντας τοῦ βασιλέως, ὅσοι
the(-ones) both from Thasos taken-alive of-the emperor as-many-as
μὴ ἀπέθανον, ξὺν τῷ λοιπῷ στόλῳ ἀπέπλευσεν ἐς Ῥόδον.
not died with the rest fleet sailed-away to Rhodes
Κόντος δὲ ἀφικόμενος ἐς Ἴμβρον ξὺν ταῖς δέκα τριήρεσι,
Conte and having-arrived at Imbros with the ten triremes
λόγους προσφέρει Κριτοβούλῳ τῷ ταύτης ἐπάρχ ὄντι περὶ
words brings to-Kritoboulos the of-it governor being about
ἐνδόσεως τῆς νήσου, ἐγχειρίσας αὐτῷ καὶ γράμματα περὶ
surrender of-the island having-handed to-him also letters about
τούτου τοῦ Λοδοβίκου. Κριτόβουλος δὲ δέχεται τοῦτον
this — of-Ludovico Kritoboulos and receives him
φιλοφρόνως, καὶ πολλὰ δωρησάμενός τε καὶ λόγοις
kindly and many(-things) having-given both and with-words
ἡμέροις καὶ προσηνέσι δεξιωσάμενος, πάσῃ τε ἄλλῃ
mild and gentle having-greeted(-him) with-all both other
χρησάμενος ἐς αὐτὸν θεραπείᾳ, ἀποπέμπει μετ' εἰρήνης
having-used toward him attendance sends-away with peace
ἀρκεσθέντα τοῖς λόγοις τοῖς παρ' αὐτοῦ καὶ μηδὲν
content with-the words the(-ones) from him and nothing
ζητήσαντα περαιτέρω μηδὲ πολυπραγμονήσαντα ὅλως ἢ
having-sought further nor having-meddled at-all or

περὶ ὧν ἦκέ τι διαπραξάμενον. Ἐγχειρίζει δὲ αὐτῷ
concerning what he-came anything having-accomplished he-bands and to-him
καὶ γράμματα ἐς Λοδοβίκον, οἰκονομίαν δὲ ἔχοντα καὶ
also letters to Ludovico management and having and
φιλίαν δεικνύντα. Καὶ ἀποπλεῖ καὶ οὗτος ἐς Ῥόδον. Ἐν
friendship showing and sails-away also this-one to Rhodes in
τούτῳ δὲ καὶ τὸ φθινόπωρον ἐτελεύτα, καὶ ἑξηκοστὸν καὶ
this and also the autumn was-ending and sixtieth and
πέμπτον ἔτος πρὸς τοῖς ἐννακοσίοις καὶ ἑξακισχιλίοις τοῖς
fifth year besides the nine-hundred and six-thousand in-the
ὅλοις ἠνύετο, ἕβδομον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.
total was-being-completed seventh and of-the rule for-the emperor

III · THE PELOPONNESE

When the despots Thomas and Demetrios withhold their tribute and quarrel, Mehmed invades the Peloponnese, takes the lower walls of Corinth, and receives the city through Matthew Asanes. He visits Athens and admires it, builds temples and palaces in the capital, and returns to the Peloponnese, taking Sparta from Demetrios, storming Kastrion, starving out Gardiki, and driving Thomas to Corfu.

Περιέχει ἥδε τόν τε πόλεμον τῶν Πελοποννησίων καὶ
it-contains this(-book) the both war of-the Peloponnesians and
τὴν πρώτην καὶ δευτέραν ἐσβολὴν τοῦ βασιλέως καὶ τὴν
the first and second invasion of-the emperor and the
παντελῆ καταστροφὴν καὶ δουλείαν τούτων καὶ ἑτέρας
complete subjugation and slavery of-these and other
πράξεις ἐν τῷ μεταξύ. Χρόνου πλῆθος ἔτη τρία.
deeds in the between of-time length years three

1.1 Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ βασιλεὺς πέμπει πρεσβείαν
of-the and same winter also emperor sends embassy
ἐς Πελοπόννησον, ἀπαιτῶν παρὰ τῶν ταύτῃ ἡγεμόνων
to Peloponnese demanding from the there leaders
τοὺς ἐπετείους φόρους, οὓς ὤφειλον αὐτῷ τριῶν ἐτῶν
the yearly tributes which they-owed to-him of-three years
που μάλιστα. Οἱ γὰρ τῆς Πελοποννήσου δεσπόται,
about most the for — of-Peloponnese despots
τῆς Βυζαντίδος ἁλούσης, εὐθὺς νεωτερισάντων τῶν ἐν
— Byzantine(-city) having-been-taken at-once having-revolted the in
Πελοποννήσῳ Ἰλλυριῶν καὶ ἐπαναστάντων αὐτοῖς, καλοῦσιν
Peloponnese Illyrians and having-risen-against them call
ἐς ἐπικουρίαν τὸν βασιλέα, ὑπεσχημένοι τούτῳ δασμὸν
for help the emperor having-promised to-him tribute
ἐτήσιον ἀποφέρειν ἀπὸ Πελοποννήσου χρυσίου στατῆρας
yearly to-pay from Peloponnese of-gold staters
ἑξακισχιλίους. Βασιλεὺς δὲ δέχεται τούτοις ξυμμαχήσειν,
six-thousand emperor and accepts with-these to-fight-as-ally
καὶ παρέχει στρατιὰν ἱκανὴν αὐτοῖς. Οἱ δὲ ξὺν ταύτῃ
and provides army sufficient to-them they and with this
καταγωνισάμενοι τοὺς Ἰλλυριοὺς δουλοῦνται τελείως καὶ
having-fought-down the Illyrians enslave(-them) completely and
φόρου ποιοῦνται ὑποτελεῖς. Μετὰ ταῦτά γε μὴν,
of-tribute make subject after these(-things) at-least indeed
τὸν δασμὸν ἀπαιτοῦντος τοῦ βασιλέως, οὐκ ἀπεδίδουν
the tribute demanding the emperor not they-paid
ῥᾳδίως, πλαττόμενοί τε κενὰς αἰτίας ἀεὶ καὶ ἀναβολὰς
readily devising both empty causes always and postponements
οὐ καλὰς, καίτοι γε λαμβάνοντες αὐτοὶ τὸν δασμὸν
not fine although at-least receiving themselves the tribute
παρὰ τῶν Ἰλλυριῶν ἐτησίως ἐφ' ᾧ καταβάλλειν τῷ
from the Illyrians yearly on condition to-pay to-the

βασιλεῖ· οἱ δὲ ἀνήλισκον ἐς ἀκαίρους δαπάνας ἰδίας,
emperor they and spent(-it) on untimely expenses own
παρακρουόμενοι τὸν βασιλέα. Πέμπων οὖν πολλάκις πρὸς
cheating the emperor sending then often to
αὐτοὺς οὐδὲν ἤνυεν· οὐ τοῦτο δὲ μόνον ἦν, ἀλλ' ὅτι
them nothing he-accomplished not this and only was(-it) but that
καὶ πρὸς ἀλλήλους στασιάζοντές τε ἦσαν καὶ ἠκούοντο
also against one-another quarreling both were and were-heard-of
οἱ δεσπόται, καὶ πολέμους εἶχον ἐμφυλίους καὶ μάχας,
the despots and wars had civil and battles
καὶ χεῖρον εἶχε τὰ τῆς Πελοποννήσου δι' αἰτίας, ἃς
and worse were the(-things) — of-Peloponnese for causes which
μικρὸν ὕστερον ἐροῦμεν. Πρὸς τούτους οὖν τοὺς πρέσβεις
a-little later we-will-tell to these then the envoys
ἐξέπεμπεν, ἅμα μὲν ἀπαιτῶν τὸν δασμόν, ἅμα δὲ καὶ
he-sent-out at-once indeed demanding the tribute at-once and also
τἀκεῖ κατασκεψόμενος καλῶς· ἐδεδίει γὰρ μήποτε
the(-things)-there going-to-survey well he-feared for lest-ever
ἡ πρὸς ἀλλήλους αὕτη τούτων διαφορά τε καὶ στάσις
the toward one-another this of-these quarrel both and faction
ἐπαγάγηται τοὺς Ἰταλοὺς ἐς Πελοπόννησον ἢ ἄλλο τι
should-bring-in the Italians into Peloponnese or other some
γένος τῶν ἑσπερίων, καὶ προκαταλαβεῖν αὐτὸς ἐβούλετο
race of-the western(-ones) and to-seize-first himself wished
ταύτην, χώραν τε οὖσαν ἐχυρωτάτην φύσει καὶ πόλεις
it land both being strongest by-nature and cities
ἔχουσαν ὀχυράς τε καὶ λόγου ἀξίας καὶ φρούρια πλεῖστά
having strong both and of-account worthy and fortresses very-many
τε καὶ δυσάλωτα, καὶ τοῖς πᾶσιν αὐτάρκως ἔχουσαν πρός
both and hard-to-take and in-the all self-sufficiently being for
τε πόλεμον καὶ εἰρήνην, θέσεώς τε λαχοῦσαν ἐπικαίρου
both war and peace position both having-obtained strategic

κατὰ γῆν τε καὶ θάλασσαν καὶ δυναμένην παραπέμπειν
by land both and sea and able to-convey
καλῶς τούς τε ἀπὸ Θρᾴκης καὶ Μακεδονίας ἐς
well the(-ones) both from Thrace and Macedonia to
Ἰταλίαν, τούς τε ἐξ Ἰταλίας αὖθις ἐς Θρᾴκην τε καὶ
Italy the(-ones) both from Italy again to Thrace both and
Μακεδονίαν. Ἀφικόμενοι δὲ οἱ πρέσβεις ἐς Πελοπόννησον
Macedonia having-arrived and the envoys at Peloponnese
καὶ τὰ παρὰ τοῦ βασιλέως ἀπαγγείλαντες οὔτε τὸν
and the(-things) from the emperor having-reported neither the
δασμὸν ἔλαβον καὶ τἀκεῖ πάντα εὗρον ξυγκεχυμένα
tribute received and the(-things)-there all found confused
τε καὶ νενοσηκότα κακῶς. Ἐπανήκοντες οὖν ἀπήγγειλαν
both and diseased badly returning then they-reported
πάντα τῷ βασιλεῖ· ὁ δὲ προὔργου ποιούμενος τὴν τῆς
all to-the emperor he and advantageous making the —
Πελοποννήσου κατάσχεσιν διὰ τὸν μελετώμενόν οἱ
of-Peloponnese seizure because-of the being-planned by-him
καὶ ὅσον οὐ πρὸς Ἰταλοὺς ἐσόμενον πόλεμον, καλῶς τε
and all but against Italians going-to-be war well both
παράπλου κειμένην τῆς Ἰταλίας, ὡς ἔφην, καὶ λιμένας
for-coasting lying — of-Italy as I-said and harbors
ἔχουσαν ἀσφαλεῖς καὶ ὁρμητήριον οὖσαν τῷ πολέμῳ
having safe and base being for-the war
στρατευμάτων τε πολλῶν καὶ νεῶν, οὐκέτι μέλλειν ᾤετο
of-armies both many and of-ships no-longer to-delay he-thought
δεῖν, ἀλλὰ στρατεύειν ἐς τὴν Πελοπόννησον.
to-be-needful but to-campaign into — Peloponnese

2.1 Ἐν τούτῳ δὲ καὶ οἱ ἐν Σαμανδρίᾳ ὄντες τῶν ἐν
in this and also the(-ones) in Smederevo being of-the(-ones) in
τέλει καὶ δὴ καὶ ἡ Λαζάρου γυνή, ἐπειδὴ πολὺν ἤδη
office and indeed also the of-Lazar wife since for-long already

χρόνον πολιορκούμενοι οὐκ ἀντεῖχον, ξυνέβησαν ὁμολογίᾳ,
time being-besieged not they-held-out came-to-terms by-agreement
ὥστε λαβόντες πάντα τὰ ἑαυτῶν τοῦ ἄστεος ἐξελθεῖν
so-that having-taken all the(-things) of-themselves from-the town to-go-out
σῶς καὶ κακῶν ἀπαθεῖς· τῇ δέ γε Λαζάρου γυναικὶ
safe and of-evils unharmed to-the and at-least of-Lazar wife
πολίσματα δύο παρέσχεν ἐς ἀρχὴν ἀντὶ Σαμανδρίας
towns two granted for rule instead-of Smederevo
ἐς Δαλματίαν καὶ Βόστρους ὁ βασιλεύς. Ἡ δὲ λαβοῦσα
in Dalmatia and Bosnians the emperor she and having-taken
τήν τε θυγατέρα καὶ πάντα τὸν βίον αὐτῆς, ἀφίκετο
the both daughter and all the livelihood her came
ἐς Βόστρους, κἀκεῖ ξυνάπτει τὴν θυγατέρα τῷ τούτων
to Bosnians and-there joins the daughter to-the of-these
ἡγεμόνι, δοῦσα καὶ φερνὴν αὐτῷ πάντα τὰ πολίσματα,
leader having-given also dowry to-him all the towns
καὶ χρόνον ἱκανὸν αὐτοῦ διαγαγοῦσα ὕστερον ἀπέπλευσεν
and time sufficient there having-spent later sailed-away
ἐς Κέρκυραν παρά τε τὴν μητέρα καὶ τοὺς ἀδελφούς.
to Corfu to both the mother and the brothers
Βασιλεὺς δὲ χειμῶνος καλῶς παρασκευασάμενος καὶ 3.1
emperor and in-winter well having-prepared and
στρατιὰν ὅτι πλείστην ἀγείρας ἱππικήν τε καὶ πεζὴν,
army as most having-gathered cavalry both and infantry
ἐπειδὴ ἔαρ ὑπέφαινεν ἤδη, ἄρας ἐκ τῆς Ἀδριανοῦ
when spring was-showing already having-set-out from the of-Hadrian(-city)
παντὶ τῷ στρατῷ, ἐπορεύετο διὰ τῆς κάτω Μακεδονίας ὡς
with-all the army marched through the lower Macedonia as
ἐπ᾽ Ἀμφίπολίν τε καὶ Στρυμόνα ποταμὸν, ξυνεπαγόμενος
toward Amphipolis both and Strymon river bringing-along
ἅμα οἱ καὶ ὅπλα πολλὰ καὶ μηχανὰς παντοίας καὶ
at-once with-him also arms many and engines of-all-kinds and

χαλκὸν ὅτι πλεῖστον καὶ σίδηρον. Γενόμενος δ' ἐν Στρυμόνι
bronze as most and iron having-come and at Strymon
διαβαίνει τε τοῦτον καὶ παραμείψας τὴν Κερκινῖτιν ἢ
crosses both it and having-passed — Kerkinitis or
Βόλβην λίμνην καὶ προσελαύνων ἐπὶ τὰ πρόσω,
Bolbe lake and riding-on to the(-places) forward
ἐπιβαίνει Θετταλίας, κἀνταῦθα στρατοπεδευσάμενος ἔγνω
enters Thessaly and-there having-encamped resolved
μικρὸν παραμεῖναι, ὥστε διαναπαῦσαί τε τὴν στρατιὰν καὶ
a-little to-stay so-as to-rest both the army and
ἑτέραν αὐτοῦ περιμεῖναι, καὶ ἅμα πεῖραν ποιούμενος τῶν
another there to-await and at-once trial making of-the
τῆς Πελοποννήσου ἡγεμόνων, εἴ πως ἄρα ἐνδοῖεν, τὴν
— of-Peloponnese leaders if somehow then they-would-yield the
κατ' αὐτῶν ἐκστρατείαν τοῦ βασιλέως μαθόντες, καὶ τὸν
against them campaign of-the emperor having-learned and the
δασμὸν ἀποδοῖεν. Ἐλέγετο γὰρ καὶ τοῦτο, ὅτι εἰ ἥκον ἂν
tribute would-pay it-was-said for also this that if had-come —
ἐν τῷ τότε πρέσβεις αὐτῶν παρὰ βασιλέα, κομίζοντές τε
in the then(-time) envoys of-them to emperor bringing both
τὸν δασμὸν καὶ δεόμενοι τυχεῖν εἰρήνης, ἔτυχον
the tribute and begging to-obtain peace they-would-have-obtained(-it)
ἂν, καὶ οὐκ ἂν ἐπὶ τὰ πρόσω τοῦ λοιποῦ προὐχώρει
— and not — to the(-places) forward for-the rest would-have-advanced
ὁ βασιλεὺς, οὐδ' ἐστράτευσε κατ' αὐτῶν· εἶχε γὰρ
the emperor nor would-have-campaigned against them he-had for
ἄλλα τὰ κατεπείγοντα. Ὡς δὲ ἡμέρας ἱκανὰς αὐτοῦ
other the(-things) pressing when but days sufficient there
διαγαγὼν οὐδὲν ἀπὸ Πελοποννήσου ἐφαίνετο, ἥ τε στρατιὰ
having-spent nothing from Peloponnese appeared the both army
διανεπαύσατο καὶ ἡ προσδοκωμένη ἀφῖκτο, ἄρας
had-rested and the(-army) expected had-come having-set-out

ἐκ Θετταλίας ἐχώρει διὰ τῆς μεσογείας αὐτῆς, παρελάσας
from Thessaly he-went through the inland of-it having-ridden-past
δὲ ταύτην τε καὶ τὴν Φθιῶτιν καὶ ὑπερβαλὼν τά τε
and this both and — Phthiotis and having-crossed-over the both
ὄρη ταύτης καὶ τὰ Ἀχαϊκὰ τούς τε ἐν τῷ μεταξὺ
mountains of-it and the(-ones) Achaean the both in the between
ποταμοὺς διαβὰς, Σπερχειόν τε καὶ Πηνειὸν, ἀφικνεῖται
rivers having-crossed Spercheios both and Peneios arrives
ἐς Πύλας, καὶ διαβαίνει τὴν ταύτῃ πάροδον ἀσφαλῶς.
at Pylai and crosses the there pass safely
Καταβὰς δὲ ἔς τε τὴν Φωκίδα καὶ Βοιωτίαν καὶ
having-gone-down and into both — Phocis and Boeotia and
Πλαταιίδα στρατοπεδεύεται αὐτοῦ πρὸς τῷ Ἀσωπῷ ποταμῷ,
Plataiis encamps there by — Asopos river
καὶ πέμπει δὴ τοὺς κατασκεψομένους τὰς παρόδους τοῦ
and sends indeed the(-ones) going-to-survey the passes —
Κιθαιρῶνος τὰς φερούσας ἐς τὸν Ἰσθμόν· ἐδεδίει γὰρ
of-Kithairon the(-ones) leading to — Isthmus he-feared for
μὴ οἱ Πελοποννήσιοι προεξελθόντες προκατάσχωσι ταύτας,
lest the Peloponnesians having-gone-out-first should-seize-first these
καὶ ἐργώδης εἴη αὐτῷ ἡ ἐς τὸν Ἰσθμὸν διάβασις.
and laborious might-be for-him the to — Isthmus crossing
Ἐνταῦθα δὲ ἥκουσι πρέσβεις παρὰ τοῦ δεσπότου Θωμᾶ,
there and come envoys from the despot Thomas
κομίζοντες καὶ τοῦ δασμοῦ μοῖράν τινα, πεντακοσίους καὶ
bringing also of-the tribute share some five-hundred and
τετρακισχιλίους χρυσίνους, καὶ δεόμενοι σπονδῶν τυχεῖν
four-thousand gold-pieces and begging truces to-obtain
καὶ εἰρήνης· τοῦτο δ' ἀνόνητον ἦν πάντῃ τότε καὶ παρὰ
and peace this but useless was wholly then and against

τὸν καιρὸν, μᾶλλον δὲ καὶ ὅλως ἀνόητον· ἀπώλεσε γὰρ
the time rather and also wholly foolish he-lost for
καὶ τὰ δοθέντα καὶ οὐδὲ τῆς εἰρήνης τετύχηκε.
both the(-things) given and not-even the peace has-obtained
Βασιλεὺς γὰρ τὸν μὲν δασμὸν ἔλαβε παρὰ τῶν πρέσβεων,
emperor for the indeed tribute took from the envoys
"τὰς δὲ σπονδὰς ὅταν ἐντὸς, ἔφη, γενώμεθα τῆς
the but truces when within he-said we-come —
Πελοποννήσου, ποιήσομεν", διαχλευάζων καὶ διαπαίζων
of-Peloponnese we-will-make mocking and making-sport-of
αὐτοὺς τῆς ἀβουλίας καὶ ἀκαιρίας· τότε γὰρ ἔδει
them for-the folly and untimeliness then for it-was-needed
τοῦτο ποιῆσαι, ὅταν ὅ τε βασιλεὺς ἐκάλει καὶ ὁ καιρὸς
this to-do when the both emperor called and the time
μετὰ τῶν πραγμάτων ἐδίδου. Ὡς δὲ ἦκον οἱ κατάσκοποι
with the affairs allowed when and came the scouts
φράζοντες μηδὲν εἶναι ταῖς παρόδοις ἐμποδὼν, ὁρμηθεὶς
telling nothing to-be in-the passes in-the-way having-set-out
ἀπὸ τοῦ Ἀσωποῦ ἐχώρει ἐπὶ τὰς παρόδους, ταύτας δὲ
from — Asopos he-went to the passes these and
διαβὰς οὐ ξὺν πόνῳ, καταβαίνει ἐς τὸ πεδίον τὸ πρὸ
having-crossed not with toil goes-down into the plain the(-one) before
τοῦ Ἰσθμοῦ καὶ τοῦ τείχους, καὶ στρατοπεδεύεται αὐτοῦ
— Isthmus and the wall and encamps there
μίαν ἡμέραν, τῇ δ' ὑστεραίᾳ ἀναλαβὼν τὸν στρατὸν
one day on-the and next(-day) having-taken the army
ἅπαντα ξυντεταγμένον, ἐσβάλλει ἐς τὴν Κορινθίων,
all drawn-up invades into the of-Corinthians(-land)
ἀκμάζοντος ἤδη τοῦ σίτου, καὶ στρατόπεδον τίθησι οὐ
ripening already the grain and camp sets not
μακρὰν, ἀλλ' ὅσον ἀπὸ τεττάρων σταδίων ἀπέχον
far but as-much-as from four stades distant

τῆς πόλεως. Τῇ δ' ἐφεξῆς ἀναλαβὼν τῶν ἐν
from-the city on-the and following(-day) having-taken of-the(-ones) in
τέλει ἐνίους καὶ στρατηγῶν καὶ σατραπῶν τοὺς ἀρίστους,
office some and of-generals and satraps the best
περιῄει τόν τε λόφον καὶ τὴν πόλιν αὐτὴν, κατασκοπῶν
went-around the both hill and the city itself surveying
τά τε ὅλως ἀπόμαχα τοῦ χωρίου τά τε ἐπίμαχα
the(-parts) both wholly unassailable of-the place the(-parts) both assailable
ὁπωσοῦν. Καὶ ἔδοξεν αὐτῷ ἡ πόλις ἐχυρωτάτη, ὥσπερ
in-any-way and seemed to-him the city strongest as
δῆτα καὶ ἦν· ὑπερύψηλόν τε γὰρ ἦν τὸ χωρίον καὶ
indeed also it-was very-high both for was the place and
ἀπότομον καὶ κρημνῶδες κύκλοθεν, καὶ μίαν μόνην
sheer and precipitous all-around and one only
πάροδον ἔχον τὴν ἐπὶ τὴν πόλιν, καὶ αὐτὴν ἀνάντη τε
approach having the(-one) to the city and this uphill both
καὶ τριπλῷ τείχει τετειχισμένην καὶ πεφραγμένην· ἡ δέ
and with-triple wall walled and fenced — and
γε Ἀκροκόρινθος καὶ πάντῃ ἀπόμαχος, ὑπερανῳκισμένη
at-least Acrocorinth also wholly unassailable settled-above
τε τῆς κορυφῆς τοῦ λόφου καὶ τείχεσιν ἰσχυροτάτοις
both the summit of-the hill and with-walls strongest
ὠχυρωμένη. Ἔγνω οὖν δεῖν λόγους πρῶτον προσφέρειν
fortified he-resolved then to-be-needful words first to-bring
τοῖς ἐν τῇ πόλει περί τε ξυμβάσεων καὶ ἐνδόσεως
to-the(-ones) in the city about both agreements and surrender
αὐτῆς· καὶ πέμπει δὴ τοὺς ἐροῦντας. Ὡς δὲ οὐκ
of-it and sends indeed the(-ones) going-to-say when but not
ἔπειθε, πρῶτον μὲν ἔκειρε πᾶσαν τὴν ἔξω χώραν
he-persuaded first indeed he-ravaged all the outer land
αὐτῶν καὶ ἐδῄωσε, παραδείσους τέ φημι καὶ ἀγροὺς καὶ
of-them and laid-waste gardens both I-mean and fields and

ἀμπέλους καὶ τἆλλα, κάλλιστά τε καὶ πολυφόρα πάντα,
vineyards and the-rest finest both and fruitful all
τόν τε σῖτον ἀκμάζοντα ἤδη διέφθειρεν. Ἔπειτα κύκλῳ
the both grain ripening already he-destroyed then in-circle
περισχὼν αὐτοὺς τῷ στρατῷ καὶ κατακλείσας ἐντὸς
having-surrounded them with-the army and having-shut(-them) within
τοῦ ἄστεος ἀσφαλῶς καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει.
the town securely and engines having-set-up besieged(-them)
Ὡς δὲ συχνὰς ἡμέρας περικαθήμενος τῇ πόλει καὶ
when but many days sitting-around the city and
πολιορκῶν οὐδὲν ἤνυεν, ἔγνω χρονίαν ἔσεσθαι
besieging nothing he-accomplished he-recognized long to-be-going-to-be
τὴν πολιορκίαν αὐτῷ· αἵ τε γὰρ μηχαναὶ οὐκ ἐξικνοῦντο
the siege for-him the both for engines not reached
πρὸς τὸ τεῖχος καλῶς, οὐδὲ βλάπτειν ὅλως ἠδύναντο·
to the wall well nor to-harm at-all were-able
ἀφαιρούμεναι γὰρ τὴν βίαν τῷ μήκει, ἐξεκαυλίζοντο καὶ
being-deprived for of-the force by-the length they-were-cut-short and
ἀσθενέστερον τῷ τείχει προσέπιπτον. Οὐ γὰρ ἐνῆν
more-weakly on-the wall fell not for it-was-possible
αὐτὰς τῷ ἀποκρότῳ καὶ σκληρῷ τοῦ χωρίου ἐγγύς
them on-the rocky and hard of-the place near
που τοῦ τείχους προσενεγκεῖν ὥστε καὶ παίειν αὐτὸ
somewhere the wall to-bring so-as also to-strike it
μετὰ βίας σφοδρᾶς καὶ ῥύμης καὶ καταρριπτεῖν· εἰ δὲ
with force violent and rush and to-hurl-down if and
καὶ ὅλως κατερριπτεῖτο τὸ τεῖχος, ἀλλὰ καὶ οὕτως ἡ ἐς
even wholly was-hurled-down the wall yet even so the to
τὸ ἄστυ καὶ τὴν πόλιν πάροδος ἀπόμαχος ἦν, ἑκατέρωθεν
the town and the city approach unassailable was on-either-side
ἀποτόμοις κρημνοῖς καὶ σκοπέλοις διειλημμένη καὶ φόβον
by-sheer precipices and crags cut-off and fear

καὶ δειλίαν πλείστην παρεχομένη τοῖς κάτωθεν εἰσιοῦσι
and cowardice very-much providing to-the(-ones) from-below entering
μεθ᾽ ὅπλων, ἄνωθέν τε καὶ ὑπὲρ κεφαλῆς βαλλομένοις
with arms from-above both and over head being-shot
ἐξ ὑπερδεξίων ἀπὸ τῶν ἄκρων. Καὶ πολλάκις δὲ ταύτῃ
from above from the heights and often too there
προσβαλὼν ὁ βασιλεὺς, ἰσχυρῶς ἀπεκρούσθη.
having-attacked the emperor strongly was-repelled
Ἐπεὶ οὖν οὔτε ἐκ προσβολῆς βίᾳ τοῖς ὅπλοις, οὔτε 4.1
since then neither by assault by-force with-the arms nor
μηχαναῖς οὔτε ἄλλῳ τῳ τρόπῳ τοιούτῳ ὁ βασιλεὺς
by-engines nor by-other any way such the emperor
αἱρήσειν τὴν πόλιν ἐνόμισεν, ἀλλ᾽ ἢ μόνον λιμῷ καὶ
would-take the city he-thought but — only by-hunger and
πολιορκίᾳ μακρᾷ, οὐκέτι πρὸς τὰ λοιπὰ διαμέλλειν
siege long no-longer to the rest(-things) to-delay
ἐγνώκει δεῖν οὐδ᾽ εἰκῇ τὸν καιρὸν ἀναλίσκειν, ἀλλὰ
he-resolved to-be-needful nor at-random the time to-spend but
τὸ μὲν ἥμισυ τῆς στρατιᾶς ξὺν Μαχουμούτει καταλιπὼν
the indeed half of-the army with Mahmud having-left
αὐτοῦ, ὥστε πολιορκεῖν καὶ φυλάσσειν τὴν πόλιν, τοῦ
there so-as to-besiege and to-guard the city so-that
μή τι τῶν ἔνδον ἐξάγειν ἢ τῶν ἔξωθεν
not anything of-the(-things) within to-bring-out or of-the(-things) from-outside
ἐσκομίζεσθαι, αὐτὸς τὴν λοιπὴν ἀναλαβὼν ἐχώρει πρὸς τὰ
to-be-brought-in himself the rest having-taken went to the
λοιπά. Καὶ πρῶτον μὲν τὰ περὶ τὴν Κόρινθον φρούρια,
rest and first indeed the around — Corinth fortresses
τὰ μὲν βίᾳ τοῖς ὅπλοις, τὰ δὲ φόβῳ καὶ
the(-ones) indeed by-force with-the arms the(-ones) and by-fear and
καταπλήξει, τὰ δὲ καὶ πειθοῖ ἑλὼν ἐν ὀλίγαις
panic the(-ones) and also by-persuasion having-taken in few

ἡμέραις ἐχειρώσατο πάντα. Μετὰ δὲ τοῦτο ἐπὶ τὰ
days he-subdued all after and this to the(-parts)
ἔνδον τῆς Πελοποννήσου προὐχώρει, καταστρεφόμενός τε
within — of-Peloponnese he-advanced subduing both
καὶ ληιζόμενος πάντα τὰ ἐν ποσὶ, τά τε ἀνάντη
and plundering all the(-things) at feet the(-places) both uphill
καὶ δύσβατα καὶ σκληρὰ τῶν τε χωρίων καὶ τῶν παρόδων
and impassable and rough of-the both places and of-the passes
ἐξομαλίζων καὶ ἡμερῶν, καὶ τὰ ἐρυμνότατα τῶν φρουρίων
leveling and taming and the strongest of-the fortresses
ἐξαιρῶν τε καὶ κατασκάπτων καὶ πάντῃ χειρούμενος.
taking-out both and razing and wholly subduing
Προσελάσας δὲ τῇ Τεγέᾳ πόλει, ἣν οἱ νῦν Μοχλίον
having-ridden-up and — to-Tegea city which the(-ones) now Mouchli
καλοῦσι, στρατόπεδον τίθησι, καὶ περισταυρώσας αὐτὴν
call camp he-sets and having-palisaded it
καὶ κύκλῳ περιλαβὼν τῷ στρατῷ ἐπολιόρκει ἐπ᾽
and in-circle having-surrounded(-it) with-the army besieged(-it) for
ὀλίγαις ἡμέραις. Καὶ μετὰ τοῦτο Δημήτριος Ἀσάνης, ὁ
few days and after this Demetrios Asanes the
ταύτης ἔπαρχος, λόγους προσφέρει τῷ βασιλεῖ περί τε
of-it governor words brings to-the emperor about both
ξυμβάσεων καὶ ἐνδόσεως αὐτῆς. Καὶ ξυμβαίνουσι δὴ,
agreements and surrender of-it and they-agree indeed
καὶ λαμβάνει τὴν πόλιν ὁ βασιλεὺς ὁμολογίᾳ. Προσχωρεῖ
and takes the city the emperor by-agreement go-over
δὲ αὐτῷ ἐπὶ ταύτῃ καὶ ἕτερα φρούρια οὐκ ὀλίγα τῶν
and to-him upon this also other fortresses not few of-the
πλησιοχώρων. Οἱ δὲ τῆς Πελοποννήσου δεσπόται ἐν τῇ
neighboring the and — of-Peloponnese despots in the
μεσογείᾳ ταύτης, ἐν Ἀμυκλαίῳ, καθήμενοι ξυντεταγμένοι,
inland of-it at Amyklaion sitting drawn-up

ἐπειδὴ ἔμαθον προσελαύνοντα τῇ Τεγέᾳ τὸν βασιλέα,
when they-learned riding-up — to-Tegea the emperor
διαλυθέντες εὐθὺς ᾤχοντο φεύγοντες, καὶ ἀναχωροῦσιν
having-broken-up at-once went-off fleeing and withdraw
ὁ μὲν ἐς Μαντίνειαν (ὁ Θωμᾶς), οὗ δὴ καὶ ἡ γυνὴ
the(-one) indeed to Mantineia — Thomas where indeed also the wife
αὐτοῦ καὶ οἱ παῖδες ἦσαν, ὁ δὲ ἐς Ἐπίδαυρον τὴν
his and the children were the(-one) and to Epidauros the
Λιμηρὰν (ὁ Δημήτριος) ἥτις νῦν Μονεμβασία καλεῖται, καὶ
Limera — Demetrios which now Monemvasia is-called and
διέτριβον ἐν αὐταῖς τοῦ πολέμου τὸ πέρας ἀποσκοποῦντες.
spent-time in them of-the war the end watching
Βασιλεὺς δὲ βραχείας ἡμέρας ἐν Τεγέᾳ διαγαγὼν καὶ 5.1
emperor and short days in Tegea having-spent and
καταστησάμενος τὰ αὐτοῦ, φρουράς τε ἐγκαταλιπὼν
having-settled the(-things) there garrisons both having-left
αὐτῇ τε καὶ τοῖς ἄλλοις φρουρίοις, ᾔει τὴν ἐπὶ Πάτρας τῆς
in-it both and in-the other fortresses went the to Patras —
Ἀχαΐας τραχεῖαν ὁδὸν καὶ πάντη ἀνάντη, δυσχωρίαις τε
of-Achaea rough road and wholly uphill by-rough-grounds both
πολλαῖς καὶ τόποις ἀβάτοις καὶ ἀποκρήμνοις διειργομένην
many and places impassable and precipitous blocked
καὶ κλειομένην. Ὁ δὲ οὐδέν τι μεῖον σπουδῇ καὶ
and shut he and nothing anything less with-zeal and
πόνῳ προὐχώρει, τὰ πρὸ τῶν ποδῶν ἅπαντα
toil advanced the(-things) before the feet all
ληιζόμενός τε καὶ καταστρεφόμενος. Οἱ δὲ ἐν ταῖς
plundering both and subduing the(-ones) and in —
Πάτραις τὴν κατ᾽ αὐτῶν ἔφοδον τοῦ βασιλέως μαθόντες,
Patras the against them approach of-the emperor having-learned
ἐκπλήξει καὶ φόβῳ ληφθέντες, εὐθὺς ἐκλιπόντες τήν
by-astonishment and fear seized at-once having-abandoned the

τε πόλιν καὶ τὰ ἑαυτῶν, ᾤχοντο φεύγοντες ξὺν
both city and the(-things) of-themselves went-off fleeing with
γυναιξὶ καὶ τέκνοις, οἱ μὲν ἐς τὰς ἐντὸς πόλεις
wives and children the(-ones) indeed to the inner cities
Πελοποννήσου τῶν Ἐνετῶν, οἱ δὲ ἐς Ναύπακτον
of-Peloponnese of-the Venetians the(-ones) and to Naupaktos
διαπεραιωθέντες, μόνην τὴν ἀκρόπολιν καταλιπόντες ἐν
having-crossed-over only the acropolis having-left in
φυλακῇ. Βασιλεὺς δὲ ἀφικόμενος ἐς Πάτρας καὶ τὴν πόλιν
guard emperor and having-arrived at Patras and the city
ἔρημον εὑρὼν καὶ κενὴν ἀνδρῶν ἀπολύει τὴν στρατιὰν
deserted having-found and empty of-men releases the army
ἐς διαρπαγὴν τῶν ἐν αὐτῇ, τὴν δὲ ἀκρόπολιν κύκλῳ
to plunder of-the(-things) in it the and acropolis in-circle
περισχὼν τῷ στρατῷ καὶ περισταυρώσας πάντοθεν
having-surrounded with-the army and having-palisaded(-it) on-all-sides
καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει. Οἱ δὲ ἐντὸς φρουροὶ
and engines having-set-up besieged(-it) the and inside guards
δείσαντες τὸν ἀπὸ τῶν μηχανῶν κίνδυνον, μὴ, τοῦ τείχους
having-feared the from the engines danger lest the wall
καταρριφθέντος, ληφθῶσι βίᾳ τοῖς ὅπλοις, καὶ περὶ τὸ
having-been-hurled-down they-be-taken by-force with-the arms and for the
ζῆν κινδυνεύσωσι, προσχωροῦσιν ὁμολογίᾳ τῷ βασιλεῖ,
life be-in-danger surrender by-agreement to-the emperor
ἐφ᾽ ᾧ μηδέν τι κακὸν παθεῖν· καὶ μέντοι γε
on condition nothing any evil to-suffer and indeed at-least
οὐδὲ πεπόνθασι. Βασιλεὺς δὲ τὴν ἀκρόπολιν παραλαβὼν
not-even they-suffered emperor and the acropolis having-taken-over
φυλακὴν ἐγκαθίστησι, καὶ Πατρέων διακηρυκεύεται τοῖς
guard establishes and of-Patrans proclaims to-the(-ones)
βουλομένοις αὖθις ἐς τὴν πόλιν ἰέναι καὶ κατοικεῖν
wishing again into the city to-go and to-dwell

ἐλευθερίαν καὶ ἀτέλειαν χρόνων ῥητῶν καὶ κτημάτων
freedom and exemption-from-taxes of-times stated and of-possessions
ἐπίδοσιν· ἤρεσκε γὰρ αὐτῷ διαφερόντως ἥ τε πόλις καὶ ἡ
grant pleased for him exceedingly the both city and the
χώρα, πάμφορός τε οὖσα καὶ θέσεως οἰκείας λαχοῦσα, ἐν
land all-bearing both being and of-position fitting having-obtained in
καλῷ τε κειμένη τῆς Πελοποννήσου καὶ πρὸς τῷ στόματι
fine both lying — of-Peloponnese and at the mouth
τοῦ Κρισαίου κόλπου, τῇ τε ἀντιπέρας ἠπείρῳ διὰ τοῦ
— of-Krisaian gulf with-the both opposite mainland through —
ἐκεῖσε Ῥίου συναπτομένη καὶ τὰ αὐτῆς καρπουμένη
there Rhion joined and the(-things) of-itself enjoying
καλῶς, καὶ πᾶσιν ἄλλοις ἁπλῶς εὐθηνουμένη καλοῖς.
well and with-all other(-things) simply abounding goods
Διά τοι τοῦτο καὶ περὶ πολλοῦ τὴν ταύτης ξυνοίκισίν
because-of surely this also of much the of-it resettlement
τε καὶ φυλακὴν ἐποιεῖτο· καὶ μέντοι γε καὶ ξυνῴκισεν.
both and guarding he-made and indeed at-least also resettled(-it)
Ἡμέρας δὲ ἱκανὰς αὐτοῦ διατρίψας καὶ τὰ περὶ αὐτὴν
days and sufficient there having-spent and the around it
φρούρια χειρωσάμενος πάντα καὶ φρουροὺς ἐγκαταστήσας
fortresses having-subdued all and guards having-established
αὐτῇ τε καὶ τοῖς ἄλλοις φρουρίοις, τῆς μὲν στρατιᾶς
in-it both and in-the other fortresses of-the indeed army
εὐθὺς ἐκπέμπει μέρος καταδραμεῖν τήν τε Ἠλείαν καὶ
at-once he-sends-out part to-overrun — both Elis and
Μεσσηνίαν καὶ τὰ περὶ αὐτὰς ἅπαντα καὶ λήσασθαι
Messenia and the(-places) around them all and to-plunder
καρτερῶς καὶ τὴν λείαν πᾶσαν ὡς αὐτὸν ἀγαγεῖν.
mightily and the booty all to him to-bring

6.1 Αὐτὸς δὲ τὴν ἄλλην στρατιὰν ἀναλαβὼν ᾔει διὰ τῆς
himself and the other army having-taken went through the
παραλίας τοῦ Κρισαίου κόλπου ὡς ἐπὶ Κόρινθον καὶ
coast — of-Krisaian gulf as toward Corinth and
προσβάλλει δὴ πόλει τινὶ παραλίῳ τῶν ὀνομαστῶν
attacks indeed city some coastal of-the renowned
Βόστιτζα καλουμένῃ τὸ νῦν· καὶ καταπλήξας τοὺς
Vostitza called the now and having-terrified the(-ones)
ἐντὸς ἰσχυρῶς ἐξ ἐφόδου καὶ μόνης λαμβάνει καὶ
within strongly by onset and alone takes also
ταύτην ὁμολογίᾳ καὶ φυλακὴν ἐγκαθίστησιν. Ἄρας
this by-agreement and guard establishes having-set-out
δ' ἐκεῖθεν ἤλαυνεν ἐπὶ Κόρινθον, πάντα τὰ
and thence he-drove toward Corinth all the(-things)
προστυχόντα χειμάρρου δίκην παρασύρων τε καὶ ὑφ'
met of-torrent like sweeping-away both and under
ἑαυτῷ ποιούμενος, τὰ δὲ καὶ ἐξανδραποδιζόμενός τε
himself making the(-things) and also enslaving both
καὶ κατασκάπτων τελείως. Ἀφικόμενος δ' ἐς Κόρινθον ὁ
and razing completely having-arrived and at Corinth the
βασιλεὺς εὗρεν ἔτι πολιορκουμένην καὶ μηδαμοῦ ἐνδιδοῦσαν
emperor found still being-besieged and nowhere surrendering
αὐτήν. Κοινολογησάμενος οὖν Μαχουμούτει καὶ τοῖς
it having-conferred then with-Mahmud and the
ἄλλοις σατράπαις καὶ στρατηγοῖς ἔδοξεν αὐτοῖς κοινῇ
other satraps and generals it-seemed to-them in-common
βουλευσαμένοις πάσῃ καὶ χειρὶ καὶ δυνάμει καὶ τοῖς ἄλλοις
having-deliberated with-all both hand and power and the other
ὑπάρχουσι τῇ πόλει προσβαλεῖν καὶ πειράσασθαι τρόπῳ
possessions the city to-attack and to-try by-way
παντὶ εἴ γε δυνατὸν ἐξ ἐφόδου βίᾳ τοῖς ὅπλοις
every if at-least possible by onset by-force with-the arms

ταύτην ἑλεῖν (ἤδη γὰρ κατερρίφθη καὶ μέρος τι τοῦ περὶ
it to-take already for was-hurled-down also part some of-the around
τὴν πάροδον καὶ τὰς πύλας τείχους ταῖς μηχαναῖς) καὶ
the approach and the gates wall by-the engines and
μὴ μάτην ἔτι κατατρίβεσθαι καὶ πονεῖν τοσοῦτον ἤδη
not in-vain any-longer to-be-worn-down and to-toil so-much already
χρόνον περικαθημένους αὐτῇ καὶ μηδὲν ἀνύοντας. Ὅ τε
time sitting-around it and nothing accomplishing the both
γὰρ χρόνος τῆς πολιορκίας ἱκανὸς ἦν· τετράμηνος γάρ·
for time of-the siege sufficient was four-month(-long) for
ἥ τε στρατιὰ τῷ μήκει ταύτης κακοπαθοῦντες ἤχθοντο,
the both army by-the length of-it suffering were-vexed
τά τε ἀχθοφόρα τῶν ζῴων λιμῷ διεφθείρετο, τῆς γῆς
the both burden-bearing of-the animals by-hunger were-destroyed the land
δηουμένης ἁπάσης, ἄλλα τε πολλὰ ἐπιγενόμενα ἐπίεσεν
being-ravaged all other both many(-things) having-come-on pressed
αὐτοὺς ἰσχυρῶς, καὶ διὰ τοῦτο ἢ οὕτως ἢ ἐκείνως
them strongly and because-of this either so or that-way
ἀπαναστῆναι ταύτης ἐβούλοντο. Παρασκευασάμενος οὖν
to-rise-up from-it they-wished having-prepared then
ὁ βασιλεὺς καὶ πᾶσαν τὴν στρατιὰν ἐκτάξας τε καὶ
the emperor and all the army having-drawn-up both and
ὁπλίσας καλῶς, τούς τε ἐν τέλει πάντας, σατράπας τέ
having-armed well the both in office all satraps both
φημι καὶ στρατηγοὺς καὶ ἡγεμόνας τῶν τάξεων καὶ δὴ καὶ
I-mean and generals and leaders of-the ranks and indeed also
στρατιώτας αὐτοὺς, παροξύνας τε καὶ παραθαρρύνας ἐς τὸ
soldiers themselves having-urged-on both and having-encouraged to the
πολεμεῖν καὶ παρακελευσάμενος ἄνδρας ἀγαθοὺς φανῆναι,
to-make-war and having-urged men good to-appear
προσέβαλλε τῇ πόλει ἰσχυρῶς. Καὶ ξυνίσταται δὴ μάχη
attacked the city strongly and arises indeed battle

καρτερὰ περί τε τὰς πύλας καὶ τὴν πάροδον· ἐνταῦθα γὰρ
fierce around both the gates and the approach there for
ἦν καὶ μόνον τὸ δοκοῦν ἐπίμαχον, ὡς τῆς γε ἄλλης
was also only the(-part) seeming assailable as of-the at-least other
ἁπάσης πόλεως ἀπομάχου παντάπασιν οὔσης· καὶ γίνεται
all city unassailable altogether being and comes-about
ὠθισμὸς ἐνταῦθα πολὺς καὶ κραυγὴ παρ᾽ ἀμφοτέρων καὶ
pushing there much and shouting from both and
φόνος καὶ τραύματα, τῆς μάχης σχεδὸν ἤδη ξυσταδὸν
slaughter and wounds the battle nearly already hand-to-hand
γινομένης. Βιασάμενοι οὖν τοὺς προμαχομένους εὐρώστως
becoming having-forced then the front-fighters stoutly
οἱ ὁπλῖται γίνονται ἐντὸς τῶν πυλῶν τοῦ κατερριμμένου
the hoplites come within the gates of-the hurled-down
πρώτου τείχους καὶ αὐτοῦ δὴ τοῦ τείχους ἐγκρατεῖς.
first wall and very indeed the wall masters
Βιαζόμενοι δὲ καὶ τοῦ δευτέρου τείχους ἔσω παρελθεῖν,
forcing and also of-the second wall inside to-pass
ἐκακοπάθουν ἰσχυρῶς, κατὰ μέτωπόν τε αὐτοῖς
they-suffered strongly at front both on-them
προσβαλλόντων τῶν ἐναντίων δόρασι μακροῖς καὶ ξυστοῖς
attacking the opponents with-spears long and pikes
καὶ παλτοῖς, καὶ ἄνωθεν ἀπὸ τῶν ἄκρων ἑκατέρου μέρους
and darts and from-above from the heights of-each part
ἐξ ὑπερδεξίων λίθοις βαλλόμενοι κατὰ κεφαλῆς· ὃ δὴ
from above with-stones being-hit on head which indeed
καὶ μάλιστα τούτους ἐπίεσε· καὶ τέλος ἀποκρούονται παρὰ
also most them pressed and finally they-are-repelled by
τῶν ἔνδοθεν ἰσχυρῶς, καὶ ἐξωθοῦνται τοῦ τείχους βιαίως·
the(-ones) from-within strongly and are-thrust-out from-the wall forcibly
καὶ ἀπέθανον αὐτοῦ οὐκ ὀλίγοι τῶν ὁπλιτῶν, καὶ μάλιστα
and died there not few of-the hoplites and most

ὑπὸ τῶν ἄνωθεν καὶ ἀφ᾽ ὑψηλοῦ καταφερομένων μεγίστων
by the from-above and from high borne-down greatest
λίθων ἰσχυρῶς βαλλόμενοι, βιαζόμενοί τε τὴν εἴσοδον
stones strongly being-hit forcing both the entrance
καὶ θρασύτερον ἐπεμβαίνοντες. Ὅπερ ἰδὼν ὁ βασιλεὺς
and more-boldly pressing-in which having-seen the emperor
ἀναχωρεῖν εὐθὺς σημαίνει τούτοις, καὶ ἔξω βέλους γενομένοις
to-withdraw at-once signals to-them and outside missile having-come
ἀποστῆναι τοῦ πολεμεῖν, εἰπὼν μὴ μάτην πονεῖν καὶ
to-stand-off from-the to-make-war having-said not in-vain to-toil and
κινδυνεύειν αὐτούς· οὐ γὰρ ὅπλα καὶ σώματα, ἀλλὰ λιμὸν
to-run-risks them not for arms and bodies but hunger
εἶναι τὸν ταύτης τῆς πόλεως ἰσχυρὸν ἀνταγωνιστήν, ὃς
to-be the of-this the city strong opponent which
ἀκονιτὶ καὶ κινδύνων χωρὶς καταγωνιεῖται ταύτην ταχέως.
without-dust and of-dangers without will-fight-down it quickly
Ἐγνώκει γὰρ ὁ βασιλεὺς μηδαμοῦ ταύτης ἀπαναστῆναι,
had-resolved for the emperor nowhere from-it to-rise-up
ἀλλὰ περικαθῆσθαι αὐτὴν ἕως ἂν ἐκπολιορκήσῃ λιμῷ·
but to-sit-around it until — he-should-reduce(-it) by-hunger
ἐνόμιζε γὰρ ὡς ταύτην ἑλὼν πᾶσαν ἤδη τὴν
he-thought for that it having-taken all already —
Πελοπόννησον ἕξει ἀμαχεί, ὥσπερ δῆτα καὶ γέγονεν.
Peloponnese he-will-have without-fighting as indeed also it-happened
Ἐν τούτῳ δὲ καὶ οἱ στρατιῶται ἦκον οἱ σταλέντες 7.1
in this and also the soldiers came the(-ones) sent
ἐς προνομὴν, λείαν ὅτι πλείστην ἐλάσαντες ἀπό τε τῆς
for foraging booty as most having-driven from both —
Ἠλείας καὶ τῆς ἄλλου προσχώρου· ἐλέγοντο δὲ ζῴων
Elis and the other neighboring(-land) were-said and of-animals
μὲν προβάτων τε καὶ βοῶν καὶ ἵππων ἀμφὶ τὰς πέντε
indeed sheep both and oxen and horses about the five

καὶ δέκα μυριάδας ἀγαγεῖν, ἀνδρῶν δὲ καὶ γυναικῶν καὶ
and ten myriads to-have-brought of-men and and women and
παιδίων ὑπὲρ τὰς τέσσαρας χιλιάδας. Καὶ τὰ μὲν ἄλλα
little-children over the four thousands and the indeed other
πάντα, πρόβατά φημι καὶ βόας καὶ ἵππους, διένειμε πάσῃ
all sheep I-mean and oxen and horses he-distributed to-all
τῇ στρατιᾷ, ἄνδρας δὲ καὶ γυναῖκας καὶ παῖδας ἀπέστειλε
the army men and and women and children he-sent
ἐς τὴν Κωνσταντίνου, κατοικίζων πᾶσαν τὴν ἔξω χώραν
to the of-Constantine(-city) settling all the outer land
αὐτῆς. Καὶ ὁ μὲν οὕτως. Κορινθίους δὲ τετράμηνον
of-it and he indeed thus (the)-Corinthians and four-month(-long)
ἤδη πολιορκουμένους ὁ σῖτος ἐπελελοίπει καὶ τἆλλα τῶν
already being-besieged the grain had-failed and the-rest of-the
ἀναγκαίων· καὶ πιεζόμενοι [δὲ] τῷ λιμῷ, ὅμως ἀντεῖχον
necessities and pressed too by-the hunger nevertheless they-held-out
ἔτι καλῶς, οὐδαμοῦ σπονδῶν μεμνημένοι· ἐδεδίεσαν γὰρ
still well nowhere of-truces mindful they-feared for
μὴ σφόδρα ὠργισμένος αὐτοῖς ὢν ὁ βασιλεὺς τῇ τριβῇ
lest exceedingly angered at-them being the emperor by-the length
τῆς πολιορκίας κακόν τι μέγα ἐργάσηται ἐς αὐτοὺς,
of-the siege evil some great should-work against them
ἄλλως τε καὶ ὅτι πολλάκις προκαλεσάμενος ἐπὶ ξυμβάσεις
otherwise both and that often having-called-out to agreements
αὐτοὺς οὐκ ἐσηκούσθη, ἀλλ᾽ ἀπεστράφη. Ἐν τούτῳ δὲ
them not he-was-listened-to but was-turned-away in this and
παραγίνεται αὐτοῖς Ἀσάνης Ματθαῖος ἀπὸ Σπάρτης, ὃν
arrives to-them Asanes Matthew from Sparta whom
ἔπεμψεν ὁ δεσπότης Δημήτριος βοηθόν τε ἥκειν αὐτοῖς
sent the despot Demetrios helper both to-come to-them
καὶ πειρασόμενον εἰ δύναιτο καὶ αὐτοῖς τοῖς δεσπόταις
and going-to-try if he-could also to-very the despots

καταλλάξαι τὸν βασιλέα καὶ σπονδὰς ποιῆσαι τὰς δυνατὰς,
to-reconcile the emperor and truces to-make the possible
μὴ μέντοι γε τούτῳ τῆς Κορίνθου ἐκστάντα. Εἶχε
not however at-least for-this — of-Corinth standing-out(-of) he-had
δὲ καὶ ἄνδρας ἑβδομήκοντα στρατιώτας μεθ' ἑαυτοῦ,
and also men seventy soldiers with himself
ἔχοντας καὶ σίτου μεδίμνους δέκα, ὃν ἔφερον ἐπὶ τῶν
having and of-grain medimnoi ten which they-carried on the
ὤμων ἐπηχθισμένοι, ἕκαστος ἀνὰ χοινίκων τριῶν· οἵτινες
shoulders laden each of choinikes three who
ἐξεπιστάμενοι πάροδον ἐκ τοῦ ἀπομαχωτάτου μέρους
knowing path from the most-unassailable part
τοῦ τε βουνοῦ καὶ τῆς πόλεως, ἄγνωστον μὲν καὶ
of-the both hill and of-the city unknown indeed and
ἄβατον τοῖς πολλοῖς, ἀνάντη δὲ ὅλως καὶ τραχεῖαν καὶ
untrodden to-the many uphill and wholly and rough and
δύσπορον, φέρουσαν ἐς τὸν Ἀκροκόρινθον, νυκτὸς λαθόντες
hard-to-pass leading to — Acrocorinth by-night escaping-notice
ἀνῄεσαν διὰ τῆς πέτρας χαλεπῶς πάνυ καὶ ἐπικινδύνως,
went-up through the rock with-difficulty very and dangerously
ἀναρριχώμενοί τε καὶ ἕτερος τὸν ἕτερον ἀνέχων τε
climbing both and one the other holding-up both
καὶ διαβαστάζων, ἐνίους δὲ σφῶν αὐτῶν καὶ ἀνιμώμενοι
and carrying some and of-them selves also drawing-up
σχοινίοις ἐκδεδεμένους· καὶ ἐσέρχονται ἐς τὴν πόλιν. Οἱ
with-ropes tied and they-enter into the city the
δὲ Κορίνθιοι τόν τε Ἀσάνην ἰδόντες καὶ τοὺς μετ' αὐτοῦ
and Corinthians — both Asanes having-seen and the(-ones) with him
ἀνερρώσθησάν τε οὐ μικρὸν καὶ ἀνέπνευσαν, νομίσαντες
were-strengthened both not little and breathed-again having-thought
βοηθόν τε ἥκειν αὐτοῖς ἐς τά τε ἄλλα καὶ δὴ καὶ
helper both to-come to-them for the both other(-things) and indeed also

σπονδὰς μετὰ τοῦ βασιλέως ποιήσειν αὐτοῖς ξυμφερούσας.
truces with the emperor to-make for-them advantageous
Ἀσάνης δὲ ἐσελθὼν ἐν τῇ πόλει ὡς εἶδε τούς τε
Asanes and having-entered into the city when he-saw the both
Κορινθίους δεινῶς ὑπὸ τοῦ λιμοῦ πιεζομένους καὶ ἀντέχειν
Corinthians terribly by the hunger pressed and to-hold-out
ἔτι μὴ δυναμένους, διακηρυκεύεται τῷ βασιλεῖ περί
any-longer not able negotiates with-the emperor about
τε ξυνθηκῶν καὶ διαλλαγῶν καὶ ἐνδόσεως τῆς πόλεως. Καὶ
both agreements and reconciliations and surrender of-the city and
ὁ βασιλεὺς δέχεται ἐπὶ τούτοις, καὶ δίδωσι αὐτῷ πιστά.
the emperor accepts on these(-terms) and gives to-him pledges
Ὁ δὲ ἐξελθὼν ποιεῖται ξυνθήκας τε καὶ σπονδὰς μετὰ
he and having-gone-out makes agreements both and truces with
τοῦ βασιλέως καὶ παραδίδωσιν αὐτῷ τήν τε πόλιν καὶ τὸν
the emperor and hands-over to-him the both city and —
Ἀκροκόρινθον καὶ τοὺς Κορινθίους μένοντας ἐφ᾽ οἷς ἔχουσι
Acrocorinth and the Corinthians remaining on what they-have
σῶς καὶ κακῶν ἀπαθεῖς, φόρου δὲ μόνον ὑποτελεῖς, ἔπειτα
safe and of-evils unharmed of-tribute but only subject then
καὶ πᾶσαν τὴν χώραν Πελοποννήσου, ὅσην ἐπῆλθε
also all the land of-Peloponnese as-much-as he-went-over
μεθ᾽ ὅπλων ὁ βασιλεὺς, καὶ πόλεις καὶ φρούρια, ὅσα
with arms the emperor and cities and fortresses as-many-as
ἐχειρώσατο, τοῦ βασιλέως εἶναι κατήκοα (ἦν δέ γε ἡ
he-subdued of-the emperor to-be subject was and at-least the
τρίτη μοῖρα Πελοποννήσου), τὴν δέ γε λοιπὴν πᾶσαν
third share of-Peloponnese the and at-least rest all
εἶναι τῶν δυναστῶν δασμὸν ἐτήσιον ἀποφερόντων τῷ
to-be of-the potentates tribute yearly paying to-the
βασιλεῖ νομίσματα τρισχίλια χρυσοῦ, ἔχειν δὲ μετ᾽ αὐτῶν
emperor coins three-thousand of-gold to-have and with them

εἰρήνην βεβαίαν καὶ φιλίαν τὸν βασιλέα καὶ ξύμμαχον
peace firm and friendship the emperor and ally
εἶναι καὶ βοηθὸν, ἤν τις αὐτοῖς μεθ᾽ ὅπλων ἐπίῃ.
to-be and helper if anyone them with arms attack
Πράξας δὲ ταῦτα μετὰ τοῦ βασιλέως καὶ ξυνθέμενος ὁ 8.1
having-done and these(-things) with the emperor and having-agreed —
Ἀσάνης ἐπάνεισιν ἐς τοὺς δεσπότας, ἀπαγγέλλων αὐτοῖς
Asanes returns to the despots reporting to-them
τὰ πεπραγμένα οἱ καὶ τὴν μετὰ τοῦ βασιλέως εἰρήνην.
the(-things) done by-him also the with the emperor peace
Οἱ δὲ δέχονται τὰς ἐπὶ τούτοις διαλλαγὰς ἑκόντες ἄκοντες·
they and accept the on these(-terms) reconciliations willing unwilling
βαρύτατον γὰρ ἔδοξεν αὐτοῖς καὶ τοῖς ὅλοις ἀξύμφορον
most-grievous for it-seemed to-them and in-the whole disadvantageous
οὐ τοσοῦτον τὰ ἄλλα ὅσον ἡ τῆς Κορίνθου ἔκδοσις,
not so-much the other(-things) as the — of-Corinth surrender
πόλεως ἐχυρωτάτης τε καὶ λόγου ἀξίας, ἐν ἐπικαίρῳ
city strongest both and of-account worthy in vantage
τε τοῦ Ἰσθμοῦ κειμένης καὶ ὥσπερ ἀκροπόλεως οὔσης
both — of-Isthmus lying and as acropolis being
Πελοποννήσου· ὅμως γε μήν τί καὶ εἶχον δρᾶσαι;
of-Peloponnese nevertheless at-least indeed what also could-they to-do
Βασιλεὺς δὲ τὴν Κόρινθον παραλαβὼν φυλακήν τε 9.1
emperor and — Corinth having-taken-over guard both
ἱκανὴν ἐσάγει ἔς τε τὴν ἄκραν καὶ ἐς αὐτὴν ἄνδρας
sufficient brings-in into both the citadel and into it(-the-city) men
ἐπιλέκτους τετρακοσίους τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς
picked four-hundred of-the(-ones) from the own court
νεοδαμωδῶν, καὶ φρούραρχον αὐτοῖς ἐφίστησιν ἕνα τῶν
newly-enrolled and fortress-commander over-them sets one of-the
πιστοτάτων αὐτῷ, καὶ σιτήσει καὶ ὅπλοις καὶ μηχαναῖς
most-trusted to-him and with-provisions and arms and engines

καὶ πᾶσιν ἄλλοις ἐπισκευάζει καλῶς τάς τε ἄλλας
and all others he-equips well the both other
πόλεις ἃς εἰλήφει, τάς τε ἐν τῇ μεσογείᾳ καὶ
cities which he-had-taken the(-ones) both in the inland and
παραλίᾳ, καὶ φρούρια τὰ δόξαντα καλῶς ἔχειν αὐτῷ
coast and fortresses the(-ones) having-seemed well to-be to-him
πάντα ἐπισκευάζει καὶ ἐξοπλίζει καλῶς φρουροῖς τε καὶ
all he-equips and arms well with-guards both and
φρουράρχαις καὶ σίτῳ καὶ ὅπλοις καὶ βέλεσι καὶ πᾶσι
fortress-commanders and grain and arms and missiles and all
τοῖς ἀναγκαίοις. Ἔνια δὲ τῶν φρουρίων, ὅσα μὴ
the necessities some and of-the fortresses as-many-as not
ἐδόκει αὐτῷ, κατασκάπτει τελείως, τοὺς δὲ οἰκήτορας
seemed(-good) to-him he-razes completely the and inhabitants
τούτων, ἄνδρας, φημὶ, καὶ γυναῖκας καὶ παῖδας, ἀσινεῖς
of-these men I-mean and women and children unharmed
ὅλως ἐκπέμπει καὶ αὐτοὺς ἐς τὴν Κωνσταντίνου μετὰ τῶν
wholly he-sends-out also them to the of-Constantine(-city) with the
ἄλλων, κατοικίζων, ἥπερ ἔφην, πᾶσαν τὴν ἔξω χώραν
others settling as I-said all the outer land
αὐτῆς. Καταστησάμενος δὲ πάντα τὰ ἐν Πελοποννήσῳ
of-it having-settled and all the(-things) in Peloponnese
καλῶς τε καὶ ὡς ἦν αὐτῷ κατὰ νοῦν, σατράπην τε
well both and as was to-him according-to mind satrap both
πάσῃ τῇ αὐτοῦ χώρᾳ τὸν Ἀμάρην καταλιπὼν, ἀπολύεται
for-all the his land — Omar having-left he-dismisses
τὴν στρατιὰν, πολλὰ πρότερον ἐπαινέσας τε αὐτοὺς καὶ
the army much first having-praised both them and
δωρησάμενος καὶ τιμήσας τοὺς ἀγαθοὺς ἐπιδόσεσί τε
having-rewarded and having-honored the good with-gifts both
καὶ ἀξιώμασι καὶ ἀρχαῖς καὶ πολλοῖς ἄλλοις· αὐτὸς δὲ
and ranks and offices and many others himself and

ἄρας ἐκ Κορίνθου, φθινοπώρου ἀρχομένου (τὸ γὰρ
having-set-out from Corinth autumn beginning the for
θέρος ἤδη τετελευτήκει), μετά τε τῆς ἰδίας αὐλῆς καί
summer already had-ended with both the own court and
τινων τῶν ἐν τέλει, ἔξεισι τοῦ Ἰσθμοῦ, καὶ ἀφικνεῖται
some of-the(-ones) in office goes-out — from-Isthmus and arrives
διὰ τῶν Μεγάρων ἐς τὰς Ἀθήνας. Κατεῖχε γὰρ αὐτὸν
through — Megara at — Athens held for him
ἔρως σφοδρὸς τῆς τε πόλεως ταύτης καὶ τῶν ἐν αὐτῇ
love violent of-the both city this and the in it
θεαμάτων, ὅτι ἤκουσε πολλὰ καὶ καλὰ περί τε τῆς
sights because he-had-heard many and fine(-things) about both the
σοφίας καὶ φρονήσεως τῶν ἐνταῦθα προγεγονότων ἀνδρῶν
wisdom and prudence of-the there earlier-living men
καὶ τῆς ἄλλης ἀνδρείας καὶ ἀρετῆς καὶ τῶν πολλῶν
and the other courage and virtue and the many
καὶ θαυμαστῶν ἔργων, ὧν ἐν τοῖς κατ᾽ αὐτοὺς καιροῖς
and marvelous works which in the in their times
ἐπεδείξαντο καὶ πρὸς Ἕλληνας καὶ πρὸς βαρβάρους
they-displayed both against Hellenes and against barbarians
ἀγωνιζόμενοι· καὶ ἐπεθύμει ἰδεῖν τε καὶ ἱστορῆσαι τήν τε
contending and he-desired to-see both and to-inquire-into the both
πόλιν καὶ τὰς ἄλλας ταύτης οἰκοδομὰς καὶ δὴ καὶ τὴν
city and the other of-it buildings and indeed also the
ἀκρόπολιν αὐτὴν τούς τε τόπους, ἐν οἷς οἱ ἄνδρες ἐκεῖνοι
acropolis itself the both places in which the men those
ἐπολιτεύοντο καὶ ταῦτα ἔπραττον, καὶ τὴν ἄλλην πᾶσαν
were-citizens and these(-things) did and the other all
θέσιν τῆς χώρας τε καὶ κατάστασιν τῆς τε κατ᾽ αὐτὴν
position of-the land both and situation of-the both by it
θαλάσσης καὶ τῶν λιμένων καὶ περὶ πάντων ἁπλῶς.
sea and of-the harbors and about all simply

Καὶ εἶδε καὶ ἐθαύμασε καὶ ἐπήνεσε, καὶ μάλιστά γε δὴ
and he-saw and marveled and praised and most at-least indeed
τὴν ἀκρόπολιν, ἀναβὰς ἐς αὐτὴν, ἀπό τε τῶν ἐρειπίων
the acropolis having-gone-up to it from both the ruins
καὶ τῶν λειψάνων ὡς σοφός τε καὶ φιλέλλην καὶ μέγας
and the remains as wise both and philhellene and great
βασιλεὺς τὰ ἀρχαῖα καὶ ἄρτια στοχαζόμενός τε καὶ
emperor the ancient(-things) and perfect conjecturing both and
τεκμαιρόμενος. Τοὺς δέ γε οἰκήτορας ταύτης, αἰδοῖ
inferring the and at-least inhabitants of-it out-of-reverence
τῶν προγόνων φιλανθρώπως τε εἶδε καὶ ἐδωρήσατο
for-the forefathers humanely both he-saw and rewarded
πολυτρόπως, καὶ πάντων ὧν ᾔτησαν ἔτυχον παρ᾽ αὐτοῦ.
in-many-ways and all which they-asked they-obtained from him
Τέσσαρας δὲ ἡμέρας αὐτοῦ διαγαγὼν, τῇ ὑστεραίᾳ ἐκεῖθεν
four and days there having-spent on-the next(-day) thence
ὁρμηθεὶς ᾔει διά τε τῆς Βοιωτίας καὶ Πλαταιΐδος,
having-set-out went through both — Boeotia and Plataiis
ἀποσκοπῶν πάντας τε τοὺς Ἑλληνικοὺς τόπους καὶ
surveying all both the Hellenic places and
ἀνερευνῶν ἀκριβῶς καὶ πυνθανόμενος περὶ πάντων.
searching-out exactly and inquiring about all
Παροδεύσας δ᾽ ἐξεπίτηδες καὶ γενόμενος καταντικρὺ τῆς
having-traveled-by and on-purpose and having-come opposite —
Εὐβοίας, κατεθεᾶτο τάς τε συχνὰς παλιρροίας Εὐρίπου
Euboea he-viewed the both frequent back-flows of-Euripos
καὶ τὰς μεταβολὰς τήν τε ἄλλην τῆς νήσου θέσιν τε
and the changes the both other of-the island position both
καὶ κατάστασιν καὶ δὴ καὶ ἀρετὴν, καὶ ὡς οἰκειοῦται
and situation and indeed also excellence and how it-is-joined
τῇ χέρσῳ διὰ τοῦ στενοτάτου πορθμοῦ, μᾶλλον δὲ ὥς
to-the dry-land through the narrowest strait rather and how

ἐστι χερρόνησος καθάπερ ποταμῷ μέσῳ τῷ βραχυτάτῳ
it-is peninsula as by-river middle by-the shortest
ῥεύματι τούτῳ διειργομένη καὶ πάλιν ξυναπτομένη γεφύρᾳ.
current this separated and again joined by-bridge
Οἱ δὲ Εὐβοεῖς τὴν ἀθρόαν ἐς αὐτοὺς ἔλευσιν τοῦ βασιλέως
the and Euboeans the sudden to them coming of-the emperor
ἰδόντες, τὸ μὲν πρῶτον ἔδεισαν περὶ ἑαυτῶν, μὴ ἄρα
having-seen the indeed first feared for themselves lest then
σφίσιν ἐπὶ κακῷ αὕτη εἴη, μετὰ δὲ τοῦτο δῶρα πλείστου
for-them for evil this might-be after and this gifts of-very-much
ἄξια ἑτοιμάσαντες τῷ βασιλεῖ ἐξῆλθον ἐς ξυνάντησιν
worth having-prepared for-the emperor went-out to meeting
αὐτῷ. Καὶ ὃς δέχεται τούτους ἡμέρως καὶ λαλήσας
him and he receives them mildly and having-spoken
εἰρηνικὰ μετ᾽ αὐτῶν ἀπολύει πάλιν. Αὐτὸς δὲ ἄρας
peaceable(-things) with them releases(-them) again himself and having-set-out
ἐκεῖθεν καὶ ἀεὶ σπουδῇ ἐλαύνων ἐπὶ τὰ πρόσω,
thence and always with-zeal driving to the(-places) forward
δεκαταῖος ἀφικνεῖται ἐς Φερὰς τῆς Μακεδονίας. Ὀλίγας
on-the-tenth-day arrives at Pherai — of-Macedonia few
δὲ ἡμέρας διατρίψας αὐτοῦ καὶ ὅσον διαναπαῦσαι αὐτόν
and days having-spent there and as-much-as to-rest himself
τε καὶ τοὺς μετ᾽ αὐτοῦ, ὁρμηθεὶς ἐκεῖθεν καταλαμβάνει
both and the(-ones) with him having-set-out thence reaches
τὴν Ἀδριανοῦ, μεσοῦντος ἤδη φθινοπώρου.
the of-Hadrian(-city) mid already autumn
Κἀνταῦθα γενόμενος εὐθὺς μεταπέμπεται Ἰσμαῆλον τὸν 10.1
and-there having-come at-once he-summons Ismail the
Καλλιουπόλεως ἔπαρχον καὶ τοῦ στόλου παντὸς ἡγεμόνα,
of-Kallipolis governor and of-the fleet whole leader
καὶ κελεύει τοῦτον ὅτι τάχιστα στόλον πεντήκοντα
and orders him as quickly-as-possible fleet of-fifty

καὶ ἑκατὸν νεῶν ἐξαρτίσαντα ἐπιπλεῦσαι τῇ Λέσβῳ καὶ
and hundred ships having-fitted-out to-sail-against — Lesbos and
Μιτυλήνῃ καὶ καταδραμεῖν πᾶσαν αὐτὴν καὶ ληίσασθαι
Mytilene and to-overrun all it and to-plunder
δηοῦντα καὶ ἀφανίζοντα κατὰ κράτος. Οἱ γὰρ τοῦ ταύτης
ravaging and blotting-out by force the for of-the of-it
ἡγεμόνος Δωριέως υἱεῖς δύο καταλειφθέντες μετὰ θάνατον
leader Dorino sons two left after death
αὐτοῦ κληρονόμοι τῆς τε νήσου ξυμπάσης καὶ τῆς
his heirs of-the both island whole and of-the
ἀρχῆς, στασιάζοντές τε ἦσαν ἀλλήλοις, καὶ νεωτέρων
rule quarreling both were with-one-another and new(-things)
ἐπιθυμοῦντες ἀεί· καὶ ἐπειδὴ τὰς ἐξ Ἰταλίας ἡκούσας
desiring always and when the from Italy having-come
τριάκοντα τριήρεις εἶδον τοῦ Ῥώμης ἀρχιερέως, ὧν
thirty triremes they-saw of-the of-Rome high-priest which
ἐναυάρχει Λοδοβίκος στρατηγὸς αὐτοκράτωρ ὢν αὐτὸς,
commanded Ludovico general with-full-power being himself
ἐνεόχμωσαν εὐθὺς, καὶ ξυνθήκας ποιησάμενοι μετ' αὐτοῦ
they-innovated at-once and agreements having-made with him
ἠθέτησαν τὰς μετὰ βασιλέως, καὶ οὐκέτι ἤθελον
set-aside the(-agreements) with emperor and no-longer wished
ἀποδιδόναι αὐτῷ τὸν ξυνήθη δασμὸν, ὃν ἀπέφερον
to-pay to-him the customary tribute which they-paid
ἐτησίως· οὐ μόνον δὲ, ἀλλ' ὅτι καὶ πρὸ τούτου τὰς
yearly not only and but that also before this the
κατάρσεις τῶν πειρατικῶν νεῶν δεχόμενοι, καὶ σιτήσεις καὶ
landings of-the pirate ships receiving and provisions and
πίστεις αὐτοῖς λάθρα παρέχοντες ἐκάκουν πᾶσαν τὴν ταύτῃ
pledges to-them secretly providing they-harmed all the there
παραλίαν τοῦ βασιλέως καὶ τὰς κατ' ἐμπορείαν πλεούσας
coast of-the emperor and the for trade sailing

ναῦς ἐσκύλευον. Ἔχων οὖν αὐτοῖς ὀργὴν διὰ ταῦτα
ships they-despoiled having then at-them anger because-of these(-things)
ὁ βασιλεὺς τὸν στόλον ἐξέπεμψεν. Ἰσμαῆλος δὲ πληρώσας
the emperor the fleet sent-out Ismail and having-manned
ὅτι τάχιστα ναῦς πεντήκοντα καὶ ἑκατὸν καὶ ὅπλα
as quickly-as-possible ships fifty and hundred and arms
καὶ μηχανὰς καὶ ὁπλίτας ἐμβιβάσας αὐταῖς ἱκανοὺς καὶ
and engines and hoplites having-put-aboard them sufficient and
ἵππους ἐν ναυσὶν ἱππαγωγοῖς καὶ πᾶσαν ἄλλην παρασκευήν
horses in ships horse-transport and all other preparation
τε καὶ χρείαν πολεμικὴν ἐξαρτίσας τε καὶ ταῖς ναυσὶν
both and need warlike having-fitted-out both and in-the ships
ἐνθέμενος, ἄρας ἐκ Καλλιουπόλεως τριταῖος καταίρει
having-put having-set-out from Kallipolis on-the-third-day lands
ἐς Λέσβον, καὶ ἀποβὰς ἔς τινα πολίχνην παράλιον
at Lesbos and having-disembarked at some small-town coastal
Μόλυβον οὕτω καλουμένην, πρῶτον ἔκειρε πᾶσαν τὴν
Molyvos so called first ravaged all the(-land)
αὐτοῦ καὶ ἐδῄωσεν, ἔπειτα περισταυρώσας τὸ ἄστυ καὶ
there and laid-waste then having-palisaded the town and
κύκλῳ περιλαβὼν τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσας
in-circle having-surrounded(-it) with-the army and engines having-set-up
ἐπολιόρκει. Ἔτυχον δὲ τότε ἐν Λέσβῳ παροῦσαι κατὰ
besieged(-it) happened and then in Lesbos being-present by
ξυμμαχίαν δύο καὶ δέκα τριήρεις τῶν μετὰ Λοδοβίκου,
alliance two and ten triremes of-the(-ones) with Ludovico
ὧν ἐναυάρχει Σέργιος, ἃς προαπέστειλε Λοδοβίκος
which commanded Sergio which sent-ahead Ludovico
βοηθοὺς Μιτυλήνῃ, εἴ γε ὁ στόλος αὐτῇ ἐπιπλεύσειε τοῦ
as-helpers for-Mytilene if at-least the fleet it should-sail-against of-the
βασιλέως (ἐλέγετο γάρ)· αἳ προμαθοῦσαι τὸν ἐπίπλουν
emperor it-was-said for which having-learned-beforehand the sailing-against

τοῦ βασιλέως στόλου, δείσασαι εὐθὺς ἀπέπλευσαν ἐς Χίον
of-the emperor fleet having-feared at-once sailed-away to Chios
κἀκεῖ περιέμενον. Ἰσμαῆλος δὲ ἐπεὶ δέκα ἡμέρας τὸ ἄστυ
and-there waited Ismail and since ten days the town
πολιορκῶν οὐδὲν ἤνυεν, ἐμπρήσας τε τὰς πρὸ τοῦ
besieging nothing he-accomplished having-burned both the before the
ἄστεος οἰκίας καὶ καταδραμὼν τὰ πολλὰ τῆς Λέσβου καὶ
town houses and having-overrun the most — of-Lesbos and
λησάμενος καὶ δηώσας καὶ κώμας διαρπάσας καὶ λείαν
having-plundered and having-ravaged and villages having-sacked and booty
ὅτι πλείστην ἐλάσας καὶ ταῖς ναυσὶν ἐνθέμενος ἀπέπλευσεν
as most having-driven and in-the ships having-put sailed-away
ἐπὶ οἶκου ἐς Καλλιούπολιν, καὶ διέλυσε τὸν στόλον.
to home to Kallipolis and dissolved the fleet
Σέργιος δὲ ξὺν ταῖς δώδεκα ναυσὶ μαθὼν ἀναχθέντα τὸν
Sergio and with the twelve ships having-learned put-out the
στόλον ἀπὸ τῆς Λέσβου, πάλιν ἐπανῆκεν ἐς Μιτυλήνην,
fleet from — Lesbos again returned to Mytilene
καὶ πολλὰ ὀνειδισθείς τε καὶ μεμφθεὶς παρὰ τῶν αὐτῆς
and much reproached both and blamed by the of-it
ἡγεμόνων, ὅπως κατὰ ξυμμαχίαν τε ἥκων αὐτοῖς καὶ
leaders how by alliance both having-come to-them and
βοηθήσειν ἐπαγγειλάμενος καὶ κεναῖς ἐλπίσιν ἀναρτήσας
to-help having-promised and with-empty hopes having-suspended
αὐτοὺς, ἐν τῷ καιρῷ τῆς ἀνάγκης καταλιπὼν φυγὰς
them in the time of-the need having-abandoned(-them) as-fugitive
ᾤχετο, ἀνιαθεὶς ἢ μᾶλλον αἰσχυνθεὶς ἀπέπλευσεν ἐς
went-off grieved or rather ashamed sailed-away to
Λῆμνον καὶ μετὰ ταῦτα ἐς Ῥόδον παρὰ Λοδοβίκον.
Lemnos and after these(-things) to Rhodes to Ludovico
Μιτυληναῖοι δὲ κατὰ τοὺς νηπίους πληγέντες νοῦν
Mytilenaeans and like the infants having-been-struck sense

ἔσχον, καὶ μετὰ ταῦτα πέμπουσι πρέσβεις ὡς βασιλέα,
had and after these(-things) send envoys to emperor
ἀπολογούμενοί τε περὶ ὧν ἐνεχαλοῦντο, καὶ τὸν δασμὸν
apologizing both about what they-were-charged-with and the tribute
ἀποδιδόντες ὃν ὤφειλον, καὶ δεόμενοι σπονδῶν τυχεῖν
paying which they-owed and begging truces to-obtain
καὶ εἰρήνης τοῦ λοιποῦ· καὶ μέντοι γε καὶ τυγχάνουσι,
and peace for-the future and indeed at-least also they-obtain(-it)
δεξαμένου τοῦ βασιλέως σφᾶς. Τὸ δ' αὐτὸ καὶ Χῖοι καὶ
having-accepted the emperor them the and same also Chians and
Νάξιοι πεποιήκασιν ὕστερον, δείσαντες μὴ ὅπερ ἔπαθον οἱ
Naxians have-done later having-feared lest what suffered the
Μιτυληναῖοι, καὶ αὐτοὶ πάθωσι, καὶ πέμψαντες πρέσβεις
Mytilenaeans also themselves might-suffer and having-sent envoys
τόν τε δασμὸν ὃν ὤφειλον ἀπέδοσαν, καὶ τὰς μετὰ
the both tribute which they-owed paid and the with
βασιλέως ξυνθήκας ἀνενεώσαντο. Βασιλεὺς δὲ τὸ λοιπὸν
emperor agreements renewed emperor and the rest
τοῦ φθινοπώρου διαγαγὼν ἐν Ἀδριανουπόλει, χειμῶνος
of-the autumn having-spent in Adrianople of-winter
ἀρχομένου ἀφικνεῖται ἐς τὸ Βυζάντιον, καὶ ἑξηκοστὸν ἤδη
beginning arrives at — Byzantium and sixtieth already
καὶ ἕκτον ἔτος πρὸς τοῖς ἐννακοσίοις τε καὶ ἑξακισχιλίοις
and sixth year besides the nine-hundred both and six-thousand
τοῖς ὅλοις ἠνύετο, ὄγδοον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.
in-the total was-being-completed eighth and of-the rule for-the emperor
Καταλαβὼν δὲ τὴν Κωνσταντίνου τῶν τε ξυνήθων 11.1
having-reached and the of-Constantine(-city) the both customary
φροντίδων εἶχετο, καὶ τῆς κατ' αὐτὴν ἐπιμελείας
cares he-held and the concerning it care
ὅλος ἦν καὶ τοῦ ταύτης ξυνοικισμοῦ· καὶ πρῶτα
wholly was and the of-it resettlement and first

μὲν τῶν Πελοποννησίων οὓς ἤγαγεν, ὅσοι τούτῳ
indeed of-the Peloponnesians whom he-brought as-many-as to-him
ἐδόκουν διαφέρειν τε τῶν ἄλλων καὶ τέχνας ἠπίσταντο,
seemed to-excel both the others and crafts knew
ἀπολεξάμενος, ἐντὸς κατοικίζει τῆς πόλεως, τοὺς δὲ λοιποὺς
having-chosen within he-settles the city the and rest
ἐν τῇ ἔξω χώρᾳ κατὰ κώμας καθίζει, διαδοὺς αὐτοῖς
in the outer land by villages settles having-distributed to-them
καὶ σῖτον καὶ ζεύγη βοῶν καὶ πᾶσαν ἄλλην αὐτάρκειάν τε
both grain and yokes of-oxen and all other sufficiency both
καὶ χρείαν ἐς τὸ παρὸν, ὥστε ἀροῦν καὶ γεωργίᾳ προσέχειν.
and need for the present so-as to-plow and to-farming to-attend
Μετὰ δὲ τοῦτο πέμψας ἐς Ἄμαστριν, πόλιν Παφλαγονίας
after and this having-sent to Amastris city of-Paphlagonia
παράλιον ἐν τῷ Εὐξείνῳ πόντῳ, ἀποικίζει τὸ πλέον αὐτῆς
coastal on — Euxine sea he-transplants the most of-it
καὶ μᾶλλον δυνάμενον, ἔτι δὲ καὶ Ἀρμενίων τοὺς
and more powerful further and also of-Armenians the(-ones)
ὑπ᾽ αὐτῷ δυνατωτάτους τε καὶ εὐπορίᾳ καὶ πλούτῳ καὶ
under him most-powerful both and in-resources and wealth and
τέχναις καὶ τοῖς ἄλλοις ἐπιτηδεύμασι διαφέροντας καὶ δὴ
crafts and the other pursuits excelling and indeed
καὶ τὴν τάξιν ἐμπορικοὺς πάντας ἀναστήσας τῆς αὐτῶν
also the rank merchants all having-removed from-the their(-land)
μετοικίζει ἐνταῦθα, οὐ μόνον δὲ, ἀλλὰ καὶ τῶν ὑπ᾽ αὐτῷ
he-resettles there not only and but also of-the under him
ἄλλων γενῶν τοὺς τοιούτους. Ἔπειτα δὲ ξυγκαλέσας
other races the such(-men) then and having-called-together
πάντας τοὺς ἐν τέλει καὶ μέγα παρ᾽ αὐτῷ δυναμένους καὶ
all the(-ones) in office and greatly with him powerful and
πλούτῳ πολλῷ καὶ εὐπορίᾳ κομῶντας, κελεύει λαμπράς
with-wealth much and resources luxuriant he-orders brilliant

τε οἰκίας οἰκοδομεῖν ἐν τῇ πόλει, ᾗ ἕκαστος βούλοιτο,
both houses to-build in the city where each might-wish
καὶ βαλανεῖα κατασκευάζειν καὶ πανδοχεῖα καὶ ἀγορὰς καὶ
and baths to-construct and inns and markets and
ἐργαστήρια πλεῖστα καὶ κάλλιστα, νεώς τε ἀνεγείρειν καὶ
workshops very-many and finest temples both to-raise and
ἱερὰ, καὶ πολλοῖς ἄλλοις τοιούτοις ἀγάλλειν αὐτὴν καὶ
sacred(-places) and with-many other such(-things) to-adorn it and
κοσμεῖν, μηδενὸς φειδομένους, ὡς ἕκαστος εὐπορίας ἔχει τε
to-ornament nothing sparing as each of-resources has both
καὶ δυνάμεως. Καὶ αὐτὸς δὲ τὸν κάλλιστον ἀπολεξάμενος
and of-power and himself too the finest having-chosen
χῶρον ἐν μέσῃ τῇ πόλει καὶ μᾶλλον τῶν ἄλλων
place in middle the city and more than-the others
ἀνέχοντα, νεών τε ἀνεγείρειν ἐν τούτῳ κελεύει τοῖς
rising temple both to-raise in this orders with-the(-ones)
ἐν αὐτῇ προϋπάρχουσι μεγίστοις τε καὶ καλλίστοις τῶν
in it previously-existing greatest both and finest of-the
νεῶν ἁμιλλώμενον ἐς ὕψος καὶ κάλλος καὶ μέγεθος, καὶ
temples vying for height and beauty and size and
ὕλας ξυλλέγειν τε καὶ ἑτοιμάζειν πρὸς τοῦτο παντοίας
materials to-collect both and to-prepare for this of-all-kinds
τε καὶ καλλίστας, μαρμάρων τε καὶ λίθων ἄλλων
both and finest of-marbles both and of-stones other
διαφανῶν καὶ τιμίων, ἔτι δὲ κιόνων πλῆθος μεγέθει καὶ
translucent and precious further and of-columns multitude in-size and
κάλλει διαφερόντων, καὶ σίδηρον καὶ χαλκὸν ὅτι πλεῖστον
beauty excelling and iron and bronze as most
καὶ μόλυβδον καὶ πάσην ἄλλην ὕλην ἐπιτήδειον. Ἔτι δὲ
and lead and all other material suitable further and
καὶ βασίλεια οἰκοδομεῖν ἐπέταξεν ἐπὶ τῆς πρὸς θάλασσαν
also palaces to-build he-ordered on the toward sea

ἀνεχούσης ἄκρας τοῦ παλαιοῦ Βυζαντίου, κρείττω τοῖς
rising headland of-the old Byzantium better in-the
ὅλοις καὶ θαυμαστότερα τῶν προτέρων ὥρᾳ τε καὶ
whole and more-marvelous than-the former in-beauty both and
μεγέθει καὶ πολυτελείᾳ καὶ χάριτι, πρὸς δὲ τούτοις νεώρια
size and costliness and grace besides and these dockyards
κατασκευάζειν πλεῖστα καὶ κάλλιστα ἐς ὑποδοχήν τε
to-construct very-many and finest for receiving both
νεῶν καὶ τῶν τούτων ἀποσκευῶν, οἴκους τε οἰκοδομεῖν
of-ships and of-the of-these gear houses both to-build
ἐχυρωτάτους τε καὶ μεγίστους ἐς φυλακὴν ὅπλων τε καὶ
strongest both and greatest for keeping of-arms both and
μηχανῶν καὶ τῶν ἄλλων τοιούτων. Καὶ ἄλλα δὴ πολλὰ
engines and the other such(-things) and other indeed many
τοιαῦτα ἐπέταξε γίνεσθαι κόσμον τε τῇ πόλει φέροντα
such(-things) he-ordered to-be-made ornament both to-the city bringing
καὶ κοινὴν ὠφέλειαν, προσέτι δὲ καὶ χρείαν ἀναγκαίαν
and common benefit besides and also need necessary
ἔς τε τοὺς πολέμους καὶ τὰς μάχας αὐτῷ, γίνεσθαι
for both the wars and the battles for-him to-be-done
δὲ ταῦτα πάντα κατὰ σπουδὴν, ἄρχοντας ἐπιστήσας
and these(-things) all with zeal officials having-set-over
τοῖς ἔργοις τοὺς ἐμπειροτάτους τε καὶ σπουδαιοτάτους.
the works the most-experienced both and most-earnest
Ἐγνωστο γὰρ αὐτῷ διὰ πάντων αὐταρκεστάτην
it-had-been-resolved for by-him through all most-self-sufficient
τε καὶ δυνατωτάτην ἀποφῆναι τὴν πόλιν καὶ οἷα τὸ
both and most-powerful to-make the city and such-as the
παλαιὸν ἦν ἔν τε δυνάμει καὶ πλούτῳ καὶ δόξῃ καὶ
of-old it-was in both power and wealth and glory and
ἐπιστήμαις καὶ τέχναις καὶ πᾶσιν ἄλλοις ἐπιτηδεύμασί τε
sciences and crafts and all other pursuits both

καὶ παραδείγμασι τῶν καλῶν καὶ δημοσίοις καὶ κοινοῖς
and patterns of-the fine(-things) and public and common
οἰκοδομήμασί τε καὶ ἀναθήμασι.
buildings both and offerings
Ξὺν τούτῳ δὲ καὶ Μαχουμούτης ὁ τῆς Εὐρώπης 12.1
with this and also Mahmud the — of-Europe
ἡγεμὼν, πρῶτός τε ὢν τῶν παρ᾽ αὐτῷ καὶ μέγα
leader first both being of-the(-ones) with him and greatly
δυνάμενος μετ᾽ αὐτὸν, καὶ τῶν ὅλων πραγμάτων τῆς
powerful after him and of-the whole affairs of-the
ἀρχῆς ἐπιμελητὴς, νεών τε ἀνεγείρει μέγιστον καὶ
rule overseer temple both raises greatest and
περικαλλέστατον ἐν ἀπόπτῳ τῆς πόλεως, λίθοις τε
most-beautiful in conspicuous(-part) of-the city with-stones both
διαφανέσι καὶ μαρμάροις ἀστράπτοντα καὶ κιόνων ὥρᾳ
translucent and marbles flashing and of-columns in-beauty
τε καὶ μεγέθει διαπρεπέστατον, ἔτι δὲ γραφικῇ τε καὶ
both and size most-distinguished further and with-painting both and
γλυφικῇ τέχνῃ καλῶς ἠσκημένον, καὶ χρυσῷ πολλῷ καὶ
carving art well decorated and with-gold much and
ἀργύρῳ καταλαμπόμενον, καὶ πολλοῖς καὶ καλοῖς ἄλλοις
silver shining and with-many and fine other
κοσμούμενον δώροις τε καὶ ἀναθήμασι καὶ φιλοτιμήμασι.
adorned gifts both and offerings and lavish-works
Περὶ αὐτὸν δὲ πτωχοτροφεῖα καὶ πανδοχεῖα κατασκευάζει
around it and poorhouses and inns he-constructs
καὶ λουτρὰ φιλοτίμως ἄγαν ἔς τε χρείαν καὶ κάλλος
and baths lavishly exceedingly for both use and beauty
ἅμα καὶ μέγεθος ἠσκημένα. Πρὸς δὲ τούτοις οἰκίας τε
at-once and size decorated besides and these houses both
λαμπρὰς οἰκοδομεῖ ἑαυτῷ καὶ πολυτελεῖς, καὶ παραδείσους
brilliant he-builds for-himself and costly and gardens

φυτεύει περὶ αὐτὰς, παντοίοις κομῶντας φυτοῖς ἔς τε χάριν
plants around them with-all-kinds luxuriant plants for both grace
καὶ τέρψιν καὶ ἀπόλαυσιν ἱκανοὺς, καὶ ὑδάτων ἀφθονίαν
and delight and enjoyment sufficient and of-waters abundance
ἐσάγει καὶ πολλὰ τοιαῦτα ποιεῖ, ἑπόμενός τε τῇ τοῦ
brings-in and many such(-things) does following both the of-the
κρατοῦντος γνώμῃ κατάκρας καὶ ἅμα κοσμῶν καὶ αὐτὸς
ruler judgment utterly and at-once adorning also himself
τὴν πόλιν ὡς δυνατὸν ἰδίαις τε δαπάναις καὶ ἀναλώμασι
the city as possible with-own both expenses and outlays
καὶ κοινωφελέσιν οἰκοδομήμασί τε καὶ ἀναθήμασι.
and public-beneficial buildings both and offerings

13.1 Μετὰ ταῦτα δὲ καὶ τριήρεις ὁ βασιλεὺς πανταχοῦ τῆς
after these(-things) and also triremes the emperor everywhere of-the
αὐτοῦ ναυπηγεῖσθαι κελεύει, τὸ τῆς θαλάσσης κράτος εἰδὼς
his(-land) to-be-built orders the of-the sea power knowing
ἀναγκαῖόν τε ὂν αὐτῷ καὶ τὴν ταύτης ἀρχὴν καὶ μάλιστα
necessary both being for-him and the of-it rule and most
δὴ ἔν γε ταῖς ὑπερορίοις ἐκστρατείαις· καὶ γὰρ ἤδει
indeed in at-least the beyond-the-borders campaigns and for he-knew
κἀν τοῖς πρόσθεν ἔργοις αὐτῷ τὰ μέγιστα ξυνενεγκόντα
also-in the earlier works for-him the greatest(-things) having-contributed
τὸν κατὰ θάλασσαν στόλον· ἀλλὰ δὴ καὶ τῶν πάλαι
the by sea fleet but indeed also of-the ancient
βασιλέων τοὺς τὰ μέγιστα δυνηθέντας ἀκριβῶς ἐξετάζων
kings the(-ones) the greatest(-things) having-been-able exactly examining
τε καὶ σκοπούμενος εὕρισκε τὰς κατὰ θάλασσαν πράξεις
both and considering he-found the by sea deeds
μεγίστας τε οὔσας καὶ ὀνομαστοτάτας καὶ τὰ μέγιστα
greatest both being and most-renowned and the greatest(-things)
κατωρθωκότας διὰ θαλάσσης αὐτούς. Διά τοι τοῦτο
having-achieved through sea them because-of surely this

καὶ τὸ ταύτης κράτος ἐς ἑαυτὸν ἐβούλετο μεταστῆσαι· γῇ
also the of-it power to himself he-wished to-transfer land
γὰρ καὶ θάλασσα ξυνελθοῦσαι ὑπὸ μίαν ἀρχὴν, μεγίστην
for and sea having-come-together under one rule greatest
ταχέως αὐτὴν ἀπεργάζονται. Καὶ ταῦτα μὲν οὕτως.
quickly it make and these(-things) indeed thus
Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Κριτόβουλος ὁ Ἰμβριώτης 14.1
of-the and same winter also Kritoboulos the Imbriot
λόγους προσφέρει τοῖς δυνατοῖς τῶν Λημνίων περὶ ἐνδόσεως
words brings to-the powerful of-the Lemnians about surrender
τῆς νήσου τῷ βασιλεῖ· ἔτι γὰρ κατεῖχον Ἰταλοί. Οἱ δὲ
of-the island to-the emperor still for held(-it) Italians they and
δέχονται καὶ παρέχουσι τούτῳ πιστὰ ἢ μὴν δώσειν τὴν
accept and give to-him pledges truly indeed to-give the
νῆσον ἀφικομένῳ· ἦν γὰρ αὐτοῖς ἐν τοῖς πρώτοις τῶν
island to-him-having-come was for to-them among the first of-the
φίλων ἀνὴρ, καὶ αὐτοὶ ἐπίστευον αὐτῷ τά γε τοιαῦτα,
friends the-man and they trusted him in-the at-least such(-things)
καὶ προέπεμπον κρύφα ἀπαλλαγῆναί τε βουλόμενοι τῆς
and sent-ahead secretly to-be-freed both wishing from-the
βαρύτητος τῶν Ἰταλῶν καὶ, τὸ μέγιστον, δεδιότες τὸν
heaviness of-the Italians and the greatest fearing the
στόλον τοῦ βασιλέως, μήποτε ἐπελθὼν αἴφνης αὐτοῖς
fleet of-the emperor lest-ever having-come-upon suddenly them
μεγάλως βλάψειε· Ἰταλοὶ γὰρ οὐκ ἠδύναντο βοηθεῖν· καὶ
greatly it-should-harm Italians for not were-able to-help and
διὰ τοῦτο ἐβούλοντο ἀποστάντες αὐτῶν προσχωρῆσαι
because-of this they-wished having-revolted from-them to-go-over
τῷ βασιλεῖ. Κριτόβουλος δὲ τὰ πιστὰ λαβὼν παρ'
to-the emperor Kritoboulos and the pledges having-received from
αὐτῶν, ἀφικνεῖται ἐς τὴν Ἀδριανοῦ· καὶ πέμπει δὴ
them arrives at the of-Hadrian(-city) and sends indeed

γράμματα κατὰ τάχος ἐς τὸν δεσπότην Δημήτριον
letters with speed to the despot Demetrios
μηνύοντα καιρὸν εἶναι τὰς νήσους αἰτῆσαι παρὰ τοῦ
signifying time to-be the islands to-ask from the
βασιλέως, Ἴμβρον καὶ Λῆμνον, ἑτοίμου τε ὄντος δώσειν
emperor Imbros and Lemnos ready both being to-give
αὐτοῦ, καὶ αὐτὸς εἰπὼν δυνατὸς εἶναι τὴν Λῆμνον ἑλεῖν
he and himself having-said able to-be — Lemnos to-take
καὶ τοὺς Ἰταλοὺς ἐξελάσαι· εἶχε γὰρ ἤδη καὶ πρότερον
and the Italians to-drive-out he-had for already also before
περὶ τούτου γράμματα τοῦ δεσπότου. Δεσπότης δὲ τοῦτο
about this letters of-the despot despot and this
μαθὼν, ὡς τάχιστα τὸν Ἀσάνην ἐκπέμπει πρέσβυν ὡς
having-learned as quickly-as-possible — Asanes sends-out as-envoy to
βασιλέα, καὶ παρ᾽ αὐτοῦ τὰς νήσους αἰτεῖ καὶ λαμβάνει,
emperor and from him the islands asks and receives
ξυνθέμενος δὴ καὶ δασμὸν ἐτήσιον ὑπὲρ τούτων ἀποφέρειν
having-agreed indeed also tribute yearly for these to-pay
βασιλεῖ τρισχιλίους χρυσίνους, ξυμπαρόντος γε καὶ αὐτοῦ
to-emperor three-thousand gold-pieces being-present-with at-least also himself
Κριτοβούλου τότε ἐν Ἀδριανουπόλει (τε) καὶ ξυμπράττοντος.
Kritoboulos then in Adrianople both and cooperating
Δεξάμενος δὲ ὁ Κριτόβουλος τὰ παρὰ τοῦ βασιλέως
having-received and — Kritoboulos the from the emperor
γράμματα, ἐπανῆλθεν ἐς Ἴμβρον ὡς τάχιστα· καὶ μίαν
letters returned to Imbros as quickly-as-possible and one
μόνην ἡμέραν αὐτοῦ διαγαγὼν, τῇ ὑστεραίᾳ ἐμβὰς
only day there having-spent on-the next(-day) having-embarked
ἐς πάραλον καὶ λαθὼν τὰς ἐφορμούσας τε καὶ
into coaster and having-escaped-notice-of the lying-at-anchor both and
περιπλεούσας τὴν νῆσον προφυλακίδας νῆας τῶν Ἰταλῶν,
sailing-around the island guard ships of-the Italians

νυκτὸς καταίρει ἐς Λῆμνον, καὶ ἐσέρχεται ἐν τῷ φρουρίῳ,
by-night lands at Lemnos and enters into the fortress
τῶν Καστριωτῶν περὶ πρώτην που φυλακὴν δεξαμένων
of-the Kastriots about first somewhere watch having-received
αὐτόν. Κοινολογησάμενος δὲ τῷ τε φρουράρχῃ καὶ
him having-conferred and with-the both fortress-commander and
τοῖς μετ᾽ αὐτοῦ (εἶχε γὰρ καὶ τοῦτον μετὰ τῶν ἄλλων
the(-ones) with him he-had for also this-man with the others
ξυμπράττοντα), εὐθὺς ἀναλαβόντες ἱππεῖς πέντε καὶ εἴκοσιν
cooperating at-once having-taken horsemen five and twenty
ἀφικνοῦνται ἐς τὸ τοῦ Κοτζίνου ἄστυ περὶ ὄρθρον βαθύν,
they-arrive at the — of-Kotzinos town about dawn deep
καὶ ἐσέρχονται ἐν αὐτῷ, ἀνοιξάντων εὐθὺς τὴν πρὸς
and enter into it having-opened at-once the toward
νότον πυλίδα τῶν ἔνδοθεν ξυμπραττόντων αὐτοῖς· εἶχε
south postern the(-ones) from-within cooperating with-them he-had
γὰρ πάντας τούτους ᾗπερ ἔφην προκατεσκευασμένους τε
for all these as I-said prepared-beforehand both
καὶ ταὐτὰ ξυμβουλομένους αὐτῷ.
and the-same(-things) wishing-with him
Εἰσελθόντα δὲ δέχονται πάντες οἱ τοῦ ἄστεος ἄσμενοι,
him-having-entered and receive all the(-ones) of-the town glad
καὶ κοινῇ ξυνδραμόντες ξὺν ὅπλοις κατακλείουσι τοὺς
and in-common having-run-together with arms shut-in the
Ἰταλοὺς ἐν τοῖς ἐπαρχικοῖς δημοσίοις οἴκοις, πέντε καὶ
Italians in the governor's public houses five and
τεσσαράκοντα ὄντας, βουληθέντας μὲν ἐς χεῖρας αὐτοῖς
forty being having-wished indeed to hands with-them
ἰέναι καὶ διὰ μάχης γενέσθαι καὶ ὡρμηκότας ἤδη, μὴ
to-go and through battle to-come and having-started already not
δυνηθέντας δέ. Τί γὰρ καὶ εἶχον οὗτοι δρᾶσαι πρὸς τοὺς
having-been-able and what for also could these to-do against the(-ones)

ἐκ τοῦ ἄστεος ἅπαντας; Τέλος δὲ, ἡμέρας ἤδη γενομένης,
from the town all finally and day already having-come
προσχωροῦσι καὶ ἄνευ ὁμολογίας, καὶ παραδιδόασι σφὰς
they-surrender even without agreement and hand-over them
αὐτοὺς Κριτοβούλῳ χρήσασθαι ὅ τι καὶ βούλοιτο,
selves to-Kritoboulos to-use(-them) what thing also he-might-wish
πιστεύσαντες αὐτῷ. Ὁ δὲ ἀπέλυσε πάντας εἰπὼν, "εἰ
having-trusted him he and released all having-said if
μὲν αἱρεῖσθε μεθ' ἡμῶν εἶναι καὶ κατοικεῖν ἐν τῇ νήσῳ,
indeed you-choose with us to-be and to-dwell in the island
δεχόμεθά τε ὑμᾶς καὶ τὰ ἐπιτήδεια ἀρκοῦντα παρέξομεν·
we-receive both you and the necessities sufficient we-will-provide
εἰ δ' οὐ, ἄπιτε ὅποι φίλον ἑκάστῳ." Τὸν δέ γε τούτων
if but not go-away wherever dear to-each the and at-least of-these
ἄρχοντα Καλαβρέζον δώροις τε πολλοῖς καὶ ξενίοις
commander Calabrese with-gifts both many and hospitable
τιμήσας ἀπέπεμψε μετ' εἰρήνης ἐς Εὔβοιαν ἀπελθόντα.
having-honored sent-away with peace to Euboea departing
Μετὰ δὲ τοῦτο πέμψας ἄγγελον ἐς τὸν τοῦ Παλαιοῦ
after and this having-sent messenger to the — of-Old
Κάστρου καλουμένου (τοῦτο δ' ἦν ἡ παλαιὰ Μυρινούπολις)
Castle called this and was the old Myrina
φρούραρχον Μιχέλην, αἰτεῖ τὴν ἀκρόπολιν, ὑπισχνούμενος
fortress-commander Michele he-asks the acropolis promising
αὐτῷ καὶ δῶρα δώσειν καὶ τιμήσειν ἱκανῶς. Ἔστι γὰρ
to-him both gifts to-give and to-honor(-him) sufficiently is for
ἡ τῆς Μυρινουπόλεως ἀκρόπολις ἐχυρωτάτη καὶ πάντη
the — of-Myrina acropolis strongest and wholly
ἀνεπιχείρητος καὶ τῶν ὀνομαστῶν ἐπ' ἀσφαλείᾳ ἐκ πάνυ
unassailable and of-the renowned for safety from very
παλαιοῦ, ἐπ' ἄκρας τε ὑπερανῳκισμένη τῆς πόλεως ἐφ'
old on height both settled-above the city on

ὑψηλοῦ καὶ τριπλῷ τείχει παλαιτάτῳ καὶ λίθοις μεγίστοις
high and with-triple wall most-ancient and with-stones greatest
κατησφαλισμένη τε καὶ κατωχυρωμένη, καὶ πᾶσαν ὑφ᾽
secured both and fortified and all under
αὑτὴν ἔχουσα καὶ καταδουλοῦσα τὴν πόλιν. Καὶ διὰ
itself having and enslaving the city and because-of
τοῦτο ἐβούλετο τοῦτον ὑπαγαγέσθαι λόγοις ἡμέροις τε καὶ
this he-wished him to-win-over with-words mild both and
προσηνέσι καὶ τὸ ὅλον εἰρηνικοῖς. Ὁ δὲ, ἅτε νέος ὢν καὶ
gentle and the whole peaceable he and as young being and
πιστεύων τῇ τῆς ἀκροπόλεως ἐχυρότητι καὶ ἅμα φυλακῇ
trusting in-the of-the acropolis strength and at-once in-guard
ἰσχυρᾷ καὶ σιτήσει (εἶχε γὰρ ἐντὸς μεθ᾽ ἑαυτοῦ καὶ τὰ
strong and in-provisions he-had for within with himself also the
ἐπιτήδεια ἄφθονα καὶ ἀρκοῦντα ἐς ὅλον ἐνιαυτὸν, καὶ ἄνδρας
necessities abundant and sufficient for whole year and men
ὀγδοήκοντα καταφράκτους), λόγοις μὲν οὐκ ἀποκρίνεται,
eighty armored with-words indeed not answers
αἵματι δὲ ξίφος ἐγχαράξας ἐς χάρτην ἀποπέμπει
with-blood but sword having-engraved on paper sends
Κριτοβούλῳ, τοῦτο δηλῶν, ὡς "αἵματι καὶ σιδήρῳ
to-Kritoboulos this showing that with-blood and iron
μόνῳ τὴν ἀκρόπολιν λήψῃ, ἄλλως δ᾽ οὐ," καὶ ἅμα
only the acropolis you-will-take otherwise but not and at-once
προσεπαπειλησάμενος ἐν τῷ χάρτῃ καὶ τοῦτο μετ᾽ εἰρωνείας·
having-threatened-further on the paper also this with irony
"μὴ οὕτω τὴν ἀκρόπολιν αἴτει, οὐ γὰρ λήψῃ· ἀλλ᾽ εἴ
not so the acropolis ask not for you-will-take(-it) but if
γε ἀνὴρ εἶ, αὐτὸς ἐλθὼν ξὺν ὅπλοις λάμβανε ταύτην."
at-least man you-are yourself having-come with arms take it

15.1 Κριτόβουλος δὲ ἡμέρας τέσσαρας ἐν τῷ Κοτζίνου
Kritoboulos and days four in the of-Kotzinos
ἄστει διαγαγὼν καὶ καταστησάμενος τὰ αὑτοῦ, τῇ
town having-spent and having-settled the(-things) of-himself on-the
ὑστεραίᾳ ἀναλαβὼν τετρακοσίους ἱππεῖς εὖ ὡπλισμένους
next(-day) having-taken four-hundred horsemen well armed
καὶ πεζῶν ὁπλίτας οὐκ ἐλάσσους τριακοσίων ἀφικνεῖται ἐς
and of-foot hoplites not fewer than-three-hundred arrives at
Μυρινούπολιν, καὶ στρατοπεδεύεται πόρρω τοῦ ἄστεος,
Myrina and encamps far from-the town
τοῦ μὴ λυμήνασθαι τούς τε ἵππους καὶ στρατιώτας τὰς περὶ
so-as not to-damage the both horses and soldiers the around
τοῦ ἄστεος ἀμπέλους καὶ τοὺς ἀγρούς· καὶ πέμψας ἄγγελον
the town vineyards and the fields and having-sent messenger
λαλεῖ πάλιν εἰρηνικὰ τῷ φρουράρχῃ καὶ πειρᾶται
speaks again peaceable(-things) to-the fortress-commander and tries
λόγοις ἡμέροις αὐτὸν ὑπαγαγέσθαι καὶ ὑποσχέσεσιν. Ὁ δὲ
with-words mild him to-win-over and with-promises he and
τήν τε παροῦσαν δύναμιν πρὸ ὀφθαλμῶν ὁρῶν, καὶ τοὺς
the both present force before eyes seeing and the(-ones)
ἐντὸς τῆς πόλεως ὑφορώμενός τε καὶ ἅμα δεδιὼς μὴ
within the city suspecting both and at-once fearing lest
τοῖς ἔξωθεν ἐπαρθέντες ἢ καὶ κοινολογησάμενοι μετὰ
by-the(-ones) from-outside encouraged or also having-conferred with
τούτων καὶ αὐτοὶ ἔνδοθεν ξυνεπαναστῶσι, καὶ τήν τε
these also themselves from-within rise-up-with(-them) and the both
ἀκρόπολιν ἀποβαλεῖ καὶ αὐτὸς κινδυνεύσειε, δέχεται τοὺς
acropolis he-will-lose and himself should-be-in-danger accepts the
λόγους εἰρηνικῶς καὶ ξυνθήκας ποιεῖται καὶ προθεσμίαν αἰτεῖ
words peaceably and agreements makes and term asks
καὶ λαμβάνει μηνῶν τριῶν, ἕως οὗ κοινωσάμενος τῷ
and receives of-months three until which having-communicated with-the

τοῦ τῆς Ῥόδου ἡγουμένῳ μεγάλῳ μαΐστρῳ (Λοδοβίκος
of-the — of-Rhodes ruling great master Ludovico
γὰρ προαπεπεπλεύκει ἐς Ἰταλίαν, ἐπίτροπον τοῦτον ταῖς
for had-sailed-away-before to Italy as-steward him over-the
νήσοις καταλιπών) δέξηται καὶ παρ᾽ αὐτοῦ ξύνθημα τοῦ
islands having-left he-should-receive also from him signal of-the
παραδοῦναι τήν τε ἀκρόπολιν καὶ τὸ ἄστυ· καὶ ὁμήρους
to-hand-over the both acropolis and the town and hostages
ἐπὶ τούτοις δίδωσι καὶ πιστά. Κριτόβουλος δὲ ταῦτα
for these(-terms) gives and pledges Kritoboulos and these(-things)
διαπραξάμενος ἐκπέμπει δύο τῶν Λημνίων ἀρχόντων ἐς
having-accomplished sends-out two of-the Lemnian officials to
Πελοπόννησον ἀγγελοῦντάς τε τῷ Δημητρίῳ τὰ
Peloponnese going-to-report both — to-Demetrios the(-things)
πεπραγμένα οἱ, καὶ ἄρχοντας αἰτήσοντας ἀφῖχθαι αὐτῷ
done by-him also officials going-to-ask to-have-come to-him
τοῦ παραδοῦναι τὴν νῆσον καὶ τὰ πολίσματα. Αὐτὸς δὲ
of-the to-hand-over the island and the towns himself and
περιέμενεν ἐν Λήμνῳ. Καὶ ταῦτα μὲν οὕτω.
waited in Lemnos and these(-things) indeed thus
Βασιλεὺς δὲ ἅμα ἦρι ἀρχομένῳ ἐκστρατεύει κατὰ τῶν 16.1
emperor and at-once with-spring beginning campaigns against the
προσοίκων τῷ Ἰονίῳ κόλπῳ Ἰλλυριῶν ἐν δεξιᾷ ἐσπλέοντι
dwellers-by — Ionian gulf Illyrians on right for-one-sailing-in
τοῦτον περί που τὴν παλαιὰν Ἐπίδαμνον, οἳ δὴ
it around somewhere the old Epidamnos who indeed
βάρβαροι ὄντες τὸ ἐξ ἀρχῆς Ταυλάντιοί τε καὶ Μαχάονες
barbarians being the from beginning Taulantians both and Machaones
ἐκαλοῦντο, νομάδες οἱ πλείους αὐτῶν καὶ αὐτόνομοι καὶ
were-called nomads the most of-them and self-governing and
ἀβασίλευτοι ἐκ πολλοῦ· οἰκοῦσι δὲ ὄρη τε μεγάλα
kingless from long they-inhabit and mountains both great

καὶ ὑπερύψηλα καὶ δυσπρόσοδα, ἔχοντες ἐν αὐτοῖς καὶ
and very-high and hard-to-approach having in themselves also
φρούρια πλεῖστα καὶ ἐρυμνὰ καὶ πολίσματα ἐχυρὰ ἐν τῇ
fortresses very-many and strong and towns secure on the
παραλίᾳ τοῦ Ἰονίου, ἥ τε χώρα πᾶσα αὐτῶν πανταχόθεν
coast — of-Ionian the both land all their on-all-sides
ὠχύρωται δυσχωρίαις τε μεγάλαις καὶ ὕλαις βαθείαις
has-been-fortified by-rough-grounds both great and forests deep
καὶ τόποις ἀποτόμοις καὶ ἀποκρήμνοις. Προστησάμενοι
and places sheer and precipitous having-set-at-their-head
δὲ πρὸ χρόνων ὀλίγων ἐκ τῆς σφετέρας γενεᾶς Ἀρειανόν
and before years few from the their-own race Arianites
τινα καὶ Ἀλέξανδρον ἡγεμόνας ἑαυτῶν κατέχουσι τὴν
a-certain and Alexander as-leaders of-themselves they-hold the
χώραν ἰσχυρῶς, οὐκ ἐθέλοντες οὔτε σπένδεσθαι βασιλεῖ
land strongly not wishing neither to-make-truce with-emperor
οὔτε δασμὸν ἀποφέρειν οὔθ' ὅλως κατακούειν αὐτοῦ· οὐ
nor tribute to-pay nor at-all to-obey him not
μόνον δὲ, ἀλλὰ καὶ τῆς αὑτῶν πολλάκις ἐκθέοντες καὶ
only and but also from-the their(-land) often running-out and
λαθραίας ἐπιθέσεις καὶ ἐκδρομὰς ποιούμενοι ἔβλαπτον τὴν
secret attacks and sallies making harmed the
ὅμορον αὐτοῖς χώραν τοῦ βασιλέως. Ἐστράτευσε μὲν οὖν
bordering them land of-the emperor campaigned indeed then
ἐπὶ τούτους καὶ πρόσθεν Μωράτης ὁ βασιλεὺς, ὁ τοῦ
against them also before Murad the emperor the of-the
βασιλέως πατὴρ, χειρὶ πολλῇ καὶ δυνάμει, καὶ ξυμβαλὼν
emperor father with-hand much and power and having-engaged
αὐτοῖς νικᾷ τε τούτους καὶ τῶν τε παρόδων ἐκράτησε
them conquers both them and of-the both passes was-master
καὶ μέρος πολὺ τῆς αὐτῶν κατέδραμε καὶ ἐδήωσε
and part much of-the their(-land) overran and laid-waste

καὶ τῶν φρουρίων ἔνια ἐξεῖλε καὶ λείαν ὡς πλείστην
and of-the fortresses some took-out and booty as most
ἤλασεν· οὐκ ἠδυνήθη δ᾽ οὖν ὅμως ἑλεῖν καὶ ὑπαγαγέσθαι
drove not was-able but then nevertheless to-take and to-win-over
τέλεον, ἀλλ᾽ ἐσπείσατο μόνον αὐτοῖς αἰτήσασιν, ἐφ᾽ ᾧ
completely but made-truce only with-them having-asked on condition
καταβάλλειν αὐτῷ δασμόν τινα ἐπέτειον, ἐλάσας δὲ
to-pay to-him tribute some yearly having-driven and
λείαν ὅτι πολλὴν ἐκεῖθεν καὶ τῇ στρατιᾷ διαδοὺς
booty as much thence and to-the army having-distributed
ἀνεχώρησεν. Βραχὺν δὲ οὗτοι χρόνον ἐμμείναντες ταῖς
withdrew short and these time having-abided by-the
ξυνθήκαις, αὖθις ἐνεόχμωσαν καὶ τόν τε δασμὸν οὐκ
agreements again innovated and the both tribute not
ἀπεδίδοσαν καὶ ἐκδρομὰς ποιούμενοι κατέτρεχον τὴν
they-paid and sallies making overran the
βασιλέως καὶ ἔβλαπτον. Ἐπὶ τούτους οὖν τὴν στρατιὰν
emperor's(-land) and harmed(-it) against these then the army
ἤλαυνεν ὁ βασιλεὺς, καὶ ἄρας ἐκ τῆς Ἀδριανοῦ
drove the emperor and having-set-out from the of-Hadrian(-city)
παντὶ τῷ στρατῷ ἱππικῷ τε καὶ πεζικῷ, ἤει διὰ τῆς
with-all the army cavalry both and infantry went through the
αὐτοῦ καὶ ἀφικνεῖται ἐν τοῖς ὁρίοις αὐτῶν ἐν τρισὶ καὶ
his(-land) and arrives at the borders their in three and
τριάκοντα ταῖς ὅλαις ἡμέραις, καὶ στρατοπεδεύεται αὐτοῦ,
thirty the whole days and encamps there
καὶ αὐτίκα κελεύει Μαχουμούτεα τρεῖς ἴλας ἀπολεξάμενον
and at-once orders Mahmud three squadrons having-chosen
ὁπλιτῶν τε καὶ τοξοτῶν καὶ ὑπασπιστῶν καὶ δὴ
of-hoplites both and archers and shield-bearers and indeed
καὶ τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς τοὺς μαχιμωτάτους
also of-the(-ones) from the own court the most-warlike

νυκτὸς ἐλθεῖν ἐπὶ τὰς παρόδους καὶ φθῆναι ταύτας
by-night to-go to the passes and to-be-first these
προκατασχόντα πρὶν τοὺς Ἰλλυριοὺς ἥκειν πυθομένους.
having-seized-beforehand before the Illyrians to-come having-learned(-it)
Ὁ δὲ ἐλθὼν εὗρε ταύτας ἤδη κατεχομένας ὑπ᾽ αὐτῶν·
he and having-come found these already held by them
προεπύθοντο γὰρ τὴν τοῦ βασιλέως ἔφοδον· καὶ
they-had-learned-beforehand for the of-the emperor approach and
ξυμβαλὼν αὐτοῖς νικᾷ τε τούτους λαμπρῶς καὶ κρατεῖ τῶν
having-engaged them conquers both them brilliantly and masters the
παρόδων βίᾳ· καὶ ὁ βασιλεὺς κατόπιν ἐλαύνων μετὰ τῆς
passes by-force and the emperor behind driving with the
ὅλης στρατιᾶς ἐσβάλλει ἐς τὴν χώραν αὐτῶν, ἀκμάζοντος
whole army invades into the land their ripening
ἤδη τοῦ σίτου, καὶ καταδραμὼν αὐτῆς τὰ πλεῖστα τόν τε
already the grain and having-overrun of-it the most the both
σῖτον διαφθείρει καὶ λείαν ὅτι πλείστην ἐλαύνει ἀνθρώπων
grain destroys and booty as most drives of-men
τε καὶ βοσκημάτων παντοίων, καὶ φρούρια χειροῦται
both and of-cattle of-all-kinds and fortresses subdues
τὰ μὲν ἐξ ἐπιδρομῆς βίᾳ, τὰ δὲ καὶ πολιορκίᾳ
the(-ones) indeed by onslaught by-force the(-ones) and also by-siege
ἑλών, καὶ κατασκάπτει τελείως, καὶ ἁπλῶς πᾶσαν τὴν
having-taken and razes completely and simply all the
ἐν ποσὶ καὶ κάτω χώραν αὐτῶν διαφθείρει, σκυλεύων τε
at feet and lower land their destroys stripping both
καὶ ληιζόμενος καὶ δηῶν κατὰ κράτος. Οἱ δέ γε Ἰλλυριοὶ
and plundering and ravaging by force the and at-least Illyrians
κατέχοντες ἤδη τὰ ὑψηλὰ (οὐ γὰρ ἐτόλμων καταβῆναι ἐς
holding already the heights not for they-dared to-come-down into
τὰ πεδία) καὶ τὴν αὑτῶν ἀγομένην καὶ φερομένην ὁρῶντες
the plains and the their(-land) being-led and being-carried seeing

καὶ πορθουμένην κακῶς καὶ ἅμα δεδιότες περὶ αὑτῶν, ἐς
and being-sacked badly and at-once fearing for themselves into
ἀνάγκην καταστάντες τρέπονται ἐς ξυμβάσεις, καὶ κήρυκα
necessity having-come turn to agreements and herald
πέμψαντες δέονται τοῦ βασιλέως σπονδῶν τυχεῖν, ὁμήρους
having-sent beg the emperor truces to-obtain hostages
τε δόντες καὶ πιστὰ, ἦ μὴν δασμόν τε ἐτήσιον ἀποφέρειν
both having-given and pledges truly indeed tribute both yearly to-pay
τῷ βασιλεῖ παῖδάς τε ῥητοὺς καὶ βοσκημάτων ἀγέλας
to-the emperor children both stated and of-cattle herds
(οὐ γὰρ ἦσαν αὐτοῖς χρήματα) καὶ στρατιώτας ἐν ταῖς
not for there-was for-them money and soldiers in the
ἐκστρατείαις τοῦ βασιλέως καὶ φίλους εἶναι καὶ ξυμμάχους
campaigns of-the emperor and friends to-be and allies
ἀδόλους. Καὶ ὁ βασιλεὺς δέχεται ἐπὶ τούτοις καὶ σπένδεται·
guileless and the emperor accepts on these(-terms) and makes-truce
καὶ λαβὼν τοὺς ὁμήρους καὶ λείαν ὅτι πλείστην ἐλάσας
and having-taken the hostages and booty as most having-driven
τε αὐτὸς καὶ τῇ στρατιᾷ διαδοὺς, ἐπάνεισιν ἐπὶ τὴν
both himself and to-the army having-distributed returns to the
Ἀδριανοῦ, τελευτῶντος ἤδη τοῦ θέρους· καὶ διαγαγὼν τὸ
of-Hadrian(-city) ending already the summer and having-spent the
φθινόπωρον ὅλον αὐτοῦ, χειμῶνος ἀρχομένου ἀφικνεῖται
autumn whole there of-winter beginning arrives
ἐς τὸ Βυζάντιον παραχειμάσων αὐτοῦ· καὶ ἑξηκοστὸν καὶ
at — Byzantium going-to-winter there and sixtieth and
ἕβδομον ἔτος πρὸς τοῖς ἐννακοσίοις καὶ ἑξακισχιλίοις τοῖς
seventh year besides the nine-hundred and six-thousand in-the
ὅλοις ἠνύετο, ἔννατον δὲ τῆς ἀρχῆς τῷ βασιλεῖ.
total was-being-completed ninth and of-the rule for-the emperor

17.1 Βασιλεὺς δὲ γενόμενος ἐν τῇ Κωνσταντίνου καὶ μικρὸν
emperor and having-come in the of-Constantine(-city) and a-little
διαναπαύσας αὐτὸν πάλιν δίδωσι ταῖς τῆς ἀρχῆς
having-rested himself again gives(-himself) to-the of-the rule
φροντίσι καὶ τῇ τῶν ὅλων διοικήσει καὶ διορθώσει, καὶ
cares and to-the of-the whole administration and correction and
μάλιστα δὴ τῶν τῆς ἰδίας αὐλῆς καὶ τῶν (γε)
most indeed of-the(-affairs) of-the own court and of-the at-least
στρατιωτῶν· φιλοκρινῶν τε πάντας αὐτοὺς καὶ ἐκλεγόμενος
soldiers sifting both all them and choosing
τοὺς ἀρίστους ἔν τε φρονήσει καὶ ἀνδρείᾳ καὶ μελέτῃ καὶ
the best in both prudence and courage and practice and
ἀσκήσει τῶν πολεμικῶν, καὶ προάγων καὶ προβιβάζων ἐπὶ
training of-the warlike(-arts) and promoting and advancing to
τὸ πρόσω, διδούς τε ἑκάστῳ τὴν ἁρμόττουσαν χώραν
the forward(-place) giving both to-each the fitting place
καὶ τάξιν, καὶ τιμῶν ἐξ ἅπαντος τρόπου τοὺς ἀγαθοὺς
and rank and honoring by every way the good
ἐπιδόσεσί τε χρημάτων καὶ ἀρχαῖς καὶ ἀξιώμασι καὶ ταῖς
with-gifts both of-money and offices and ranks and the
ἄλλαις εὐποιίαις καὶ δωρεαῖς, μηδενὸς φειδόμενος. Μετὰ δὲ
other benefits and donations nothing sparing after and
τοῦτο τῶν σατραπῶν τοὺς ἀρίστους τε καὶ δοκιμωτάτους
this of-the satraps the best both and most-approved
ἀναφανέντας τοῖς ἔργοις καὶ τὰς αὑτῶν σατραπείας τε
having-appeared in-the works and the their satrapies both
καὶ ἀρχὰς ὡς ἔδει διῳκηκότας καὶ καλῶς ἄρξαντας
and offices as was-needed having-administered and well having-ruled
μετεβίβαζεν ἐπὶ τὰς κρείττους τε καὶ μεγίστας τῶν τιμῶν
he-transferred to the greater both and greatest of-the honors
τε καὶ ἀρχῶν, ἑτέρους τε αὖ ἐς τὰς αὐτῶν ἀντικαθίστα
both and offices others both again into the their he-appointed-instead

σατραπείας καὶ τάξεις, ὅσοι τούτῳ ἐδόκουν, ἥπερ ἔφην,
satrapies and ranks as-many-as to-him seemed as I-said
τῶν σφόδρα χρησίμων τε καὶ σπουδαίων ἀνδρῶν, ἄθλα
of-the very useful both and earnest men prizes
παρεχόμενος ἑκάστοις τὰ πρέποντα. Ἔπειτα κηρύγματα
providing to-each the fitting(-ones) then proclamations
διαπέμπει καὶ διατάξεις πανταχοῦ τῆς αὐτοῦ ἔν τε Ἀσίᾳ
he-sends-round and ordinances everywhere of-the his(-land) in both Asia
καὶ Εὐρώπῃ, πάντας, ὅσοι τῆς Κωνσταντίνου εἴτε
and Europe all as-many-as of-the of-Constantine(-city) whether
αἰχμαλωσίᾳ εἴτε μετοικήσει εἴτε ἄλλως πως ἢ πρὸ
by-captivity or by-emigration or otherwise somehow either before
τῆς ἁλώσεως ἢ μετὰ τὴν ἅλωσιν ἐν ἑτέραις πόλεσιν
the capture or after the capture in other cities
ᾤκουν, μετανιστῶν τε καὶ μετοικίζων ἐνταῦθα· ἦσαν γὰρ
dwelt removing both and resettling there there-were for
ἔτι τούτων πολλοὶ καὶ ἐν τῇ Ἀδριανοῦ καὶ Φιλίππου
still of-these many also in the of-Hadrian(-city) and of-Philip(-city)
καὶ Καλλίου καὶ Προυσίου καὶ ἑτέραις πόλεσιν ἀπό
and of-Kallias(-city) and of-Prousias(-city) and other cities from
τε τῆς αἰχμαλωσίας καὶ ἔτι πρότερον διασπαρέντες καὶ
without-fighting themselves both and the city to-Mahmud the pledges
λαβόντες. Ὁ δὲ πάντας αὐτοὺς ἀποικίζει ἐς τὸ Βυζάντιον ξὺν
having-received he and all them transplants to — Byzantium with

γυναιξὶ καὶ τέκνοις καὶ τοῖς ὑπάρχουσι πᾶσι σῶς καὶ κακῶν
wives and children and the possessions all safe and of-evils
ἀπαθεῖς, τὴν δὲ πόλιν κατέσκαψε. Διαθέμενος δὲ τὰ
unharmed the and city he-razed having-arranged and the(-things)
ἐν Πελοποννήσῳ πάντα καλῶς τε καὶ ὡς ἦν αὐτῷ κατὰ
in Peloponnese all well both and as was to-him according-to
νοῦν καὶ φρουροὺς τοῖς φρουρίοις πᾶσι ἐγκαταστήσας ἄνδρας
mind and guards in-the fortresses all having-established men
τῶν ἀπὸ τῆς βασιλικῆς αὐλῆς τοὺς μαχιμωτάτους,
of-the(-ones) from the royal court the most-warlike
τά τε ἄλλως νεωτερήσαντα διορθωσάμενός τε καὶ
the(-things) both otherwise having-rebelled having-set-right both and
παραδοὺς Ἀμάρει πάντα, αὐτὸς λαβὼν μεθ' ἑαυτοῦ τούς
having-handed-over to-Omar all himself having-taken with himself the
τε ζωγρηθέντας ἄνδρας ἐν τῷ Ἰσθμῷ καὶ οὓς εὗρεν ἐν τοῖς
both taken-alive men in — Isthmus and whom he-found in the
φρουρίοις τῶν Ἐνετῶν, ἀλλὰ δὴ καὶ τοὺς νεωτερήσαντας
fortresses of-the Venetians but indeed also the having-rebelled
Πελοποννησίων καὶ λείαν τινὰ οὐ πολλὴν, ἐπάνεισιν ἐς τὴν
of-Peloponnesians and booty some not much returns to the
Κωνσταντίνου, χειμῶνος μεσοῦντος ἤδη. Βασιλεὺς δὲ τοὺς
of-Constantine(-city) winter mid already emperor and the
μὲν Ἀργείους πάντας κατοικίζει ἐν τῇ μονῇ τῇ Περιβλέπτῳ
indeed Argives all settles in the monastery — Peribleptos
καλουμένῃ, δοὺς αὐτοῖς καὶ οἰκίας καὶ ἀμπέλους καὶ
called having-given to-them both houses and vineyards and
ἀγροὺς, τοὺς δὲ ληφθέντας ἄνδρας οὓς ἔφην τῶν
fields the and taken men whom I-mentioned of-the
πολεμίων τούς τε ἐν τοῖς φρουρίοις ἁλόντας τούς τε
enemies the(-ones) both in the fortresses captured the(-ones) both
νεωτερήσαντας Πελοποννησίων πάντας ἀπέκτεινεν.
having-rebelled of-Peloponnesians all he-killed

Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ Ἰαγούπης ὁ σατράπης 3.1
in and the same days also Yakub the satrap
Καλλιουπόλεως τὰ ἐν Ἑλλησπόντῳ φρούρια ἐξετέλεσε καὶ
of-Kallipolis the in Hellespont fortresses completed and
φρουρὰν ἐγκατέστησε τούτοις καὶ ὅπλα ἐσήνεγκε πλεῖστα
garrison established in-these and arms brought-in very-many
καὶ μηχανὰς ἐπέστησε πετροβόλους καὶ ἀφετήρια, δι᾽
and engines set-up stone-throwing and launchers through
ὧν ἔμελλε τὸν ἔσπλουν ἀεὶ καὶ ἔκπλουν κωλύειν τῶν
which he-was-going the sailing-in always and sailing-out to-hinder of-the
ἀναπλεόντων ἢ καταπλεόντων σκαφῶν, ὅτε καὶ ὧν
sailing-up or sailing-down vessels when also of-whom
βούλοιτο, τά τε ἄλλα πάντα πεποίηκε κατὰ τὴν
he-might-wish the both other(-things) all he-has-done according-to the
τοῦ βασιλέως ὑφήγησιν· καὶ ἀπετελέσθη ἔργον μέγα καὶ
of-the emperor guidance and was-completed work great and
πάντων ἐξῃρημένον καὶ λόγου πολλοῦ καὶ θαύματος ἄξιον,
from-all set-apart and of-account much and of-wonder worthy
ὅπερ οὔτε τῶν παλαιῶν Ἑλλήνων τις οὔτε τῶν πάλαι
which neither of-the ancient Hellenes anyone nor of-the of-old
μεγάλων βασιλέων καὶ στρατηγῶν, Ῥωμαίων τέ φημι καὶ
great kings and generals of-Romans both I-mean and
Περσῶν, ἐπὶ νοῦν ἐβάλλετό ποτε, οὔτε ἐδυνήθη βαλὼν,
of-Persians into mind put ever nor was-able having-put
διαστῆσαί τε τὴν ἄνω θάλασσαν τῆς κάτω θαλάσσης
to-separate both the upper sea from-the lower sea
καὶ τελείως ἀπεῖρξαι καὶ ὅλως ἄβατόν τε καὶ ἄπλωτον
and completely to-bar and wholly impassable both and unsailable
καταστῆσαι τοῖς ἀναπλεῖν ἢ καταπλεῖν βουλομένοις
to-make for-the(-ones) to-sail-up or to-sail-down wishing
πᾶσι, πλὴν οἷς βούλοιτο, ὥσπερ πύλας ἑκατέρωθεν τὰ
all except for-whom he-might-wish as gates on-either-side the

φρούρια ἐπιθεὶς, καὶ μηχανὰς ἐπιστήσας πετροβόλους, δι᾽
fortresses having-set and engines having-set-up stone-throwing through
ὧν πόρρωθεν ἀνασοβοῦνται καὶ τριήρεις καὶ ὁλκάδες
which from-afar are-scared-off both triremes and merchantmen
αἱ μέγισται καὶ ἄλλο πᾶν καὶ μικρὸν καὶ μέγα ἀκάτιον,
the greatest and other every both small and great skiff
εὐθὺς δὴ καὶ μόνον πλησιάσαντα καταγνύμενά τε καὶ
at-once indeed also only having-approached shattered both and
ἀπολλύμενα τοῖς ἐκ τῶν μηχανῶν ἀφιεμένοις παμμεγέθεσι
destroyed by-the from the engines let-fly huge
λίθοις, ὥσπερ τῇ Σκύλλῃ ξυμπλακέντα καὶ τῇ Χαρύβδει.
stones as — with-Scylla entangled and — Charybdis
Ξέρξης μὲν γὰρ ἔζευξε πάλαι τὸν Ἑλλήσποντον τοῦτον,
Xerxes indeed for yoked of-old — Hellespont this
ἀλλὰ σχεδίᾳ καὶ γεφύρᾳ ξυλίνῃ, ἥτις οὔτε πρός τε
but with-raft and bridge wooden which neither against both
τὰς τῶν ἀνέμων καὶ τῆς θαλάσσης ἐμβολὰς ἐπὶ πολὺ
the of-the winds and of-the sea assaults for long
ἂν ἀντίσχειν ἐδυνήθη, καὶ μέντοι γε οὐδὲ ἀντέσχε,
— to-hold-out was-able and indeed at-least not-even held-out
καὶ ἐχθρῶν ἐπελθοῦσα δύναμις ῥᾳδίως ἂν αὐτὴν βίᾳ
and of-enemies having-come force easily — it by-force
διέλυσεν· ἐνταῦθα δὲ οὐδέν τι τοιοῦτον ὅλως οὔτε
would-have-broken-up here but nothing any such at-all neither
ἔστιν οὔτε γενέσθαι δύναται· οὔτε γὰρ θαλάσσης τε καὶ
is nor to-happen can neither for of-sea both and
ἀνέμων ἐμβολαὶ καὶ ἐπίρροιαι οὔτε ἐχθρῶν καὶ πολεμίων
of-winds assaults and inflows nor of-enemies and foes
ἐπελθοῦσα δύναμις δύνανται ταύτην παραβλάψαι τὸ
having-come force can it to-harm the

ξύνολον ἢ καὶ ὁπωσοῦν βιάσασθαι· οὕτως ἀνάλωτός τε
whole or also in-any-way to-force so uncapturable both
καὶ ἰσχυρὸς ὁ δεσμὸς οὗτος ἐγεγόνει καὶ ἡ σχεδία αὕτη.
and strong the bond this had-become and the raft this
Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ βασιλεὺς ὁ Παιόνων τε καὶ 4.1
of-the and same winter also king the of-Paionians both and
Δακῶν ἐστράτευσεν ἐπὶ τὴν Δαλματῶν καὶ Βόστρων
Dacians campaigned against the of-Dalmatians and Bosnians
χώραν, ἣν πρώην ἐχειρώσατο βασιλεὺς, ὅπως, εἰ δύναιτο,
land which formerly subdued emperor so-that if he-could
κατάσχῃ ταύτην καὶ τὰ ἐν αὐτῇ φρούρια ἐξέλῃ καὶ μάλιστα
he-might-seize it and the in it fortresses take-out and most
δὴ τὴν Ἰάϊτζαν, ἐξελάσας τοὺς βασιλέως φρουρούς·
indeed — Jajce having-driven-out the emperor's guards
δεινότατον γάρ οἱ πάντων ἐδόκει εἶναι καὶ τῆς αὐτοῦ
most-terrible for to-him of-all seemed to-be also of-the his
χώρας τε καὶ ἀρχῆς βλάβη τε μεγίστη καὶ κατάλυσις
land both and rule harm both greatest and dissolution
προφανὴς ἡ τῆς χώρας ταύτης καὶ τῶν ἐν αὐτῇ φρουρίων
manifest the of-the land this and of-the in it fortresses
παρὰ τοῦ βασιλέως κατάσχεσις, ἐν ἐπικαίρῳ τε τῆς αὐτοῦ
by the emperor holding in vantage both of-the his(-land)
κειμένης καὶ πάντοθεν ὁμόρου τῇ Παιόνων οὔσης καὶ
lying and on-all-sides bordering on-the of-Paionians(-land) being and
πρὸς καταδρομὴν ταύτης ἐπιτηδείας. Προσβαλὼν οὖν αὐτῇ
for overrunning of-it suitable having-attacked then it
μετὰ στρατιᾶς ἱκανῆς καὶ παρασκευῆς, ἀφιστᾷ μὲν εὐθὺς τὰ
with army sufficient and preparation detaches indeed at-once the
πλείω τῶν φρουρίων ἀπὸ τοῦ βασιλέως, τὰ μὲν πειθοῖ
most of-the fortresses from the emperor the(-ones) indeed by-persuasion
καὶ λόγοις προσαγόμενος, τὰ δὲ φόβῳ καὶ ἀπειλαῖς,
and words winning-over the(-ones) and by-fear and threats

ἔστιν ἃ δὲ καὶ τοῖς ὅπλοις καταστρεψάμενος. Ἐς δὲ
it-is which and also with-the arms having-subdued into and
τὴν Ἰάϊτζαν ἐλθὼν, αἱρεῖ καὶ ταύτην ἀπόνως, τῶν ἔνδον
— Jajce having-come takes also it without-toil the(-ones) within
στασιασάντων τε καὶ σφαγὰς ἐργασαμένων ἀλλήλων καὶ
having-quarreled both and slaughters having-worked on-one-another and
προσχωρησάντων ἑκουσίως αὐτῷ. Διαγαγὼν δὲ οὐ πολλὰς
having-gone-over willingly to-him having-spent and not many
ἡμέρας αὐτοῦ καὶ φυλακὰς καταστησάμενος ἰσχυρὰς ἐν αὐτῇ
days there and guards having-established strong in it
τε καὶ τοῖς ἄλλοις τῶν φρουρίων ἄνδρας καταφράκτους
both and the other of-the fortresses men armored
τε καὶ μαχίμους καὶ ὅπλα καὶ σῖτον ὅτι πλεῖστον
both and warlike and arms and grain as most
ἐσαγαγὼν ἀνεχώρησεν ἐπ᾽ οἴκου. Καὶ ὁ μὲν οὕτως.
having-brought-in withdrew to home and he indeed thus
5.1 Βασιλεὺς δὲ τοῦτο πυθόμενος καὶ βαρέως διατεθεὶς πρὸς
emperor and this having-learned and heavily disposed at
τὴν ἀκοὴν, παρεσκευάζετο εὐθὺς ἐκστρατεῦσαι χειρὶ
the hearing prepared at-once to-campaign with-hand
πολλῇ καὶ δυνάμει, οὐ μόνον κατὰ τῆς Βόστρων καὶ
much and power not only against the of-Bosnians(-land) and
τῶν ἀποστάντων φρουρίων, ἀλλὰ δὴ καὶ ἐς αὐτὴν
the revolted fortresses but indeed also into very
τὴν Παιόνων ἐσβάλλειν. Στρατιὰν τοίνυν ὅτι πλείστην
the of-Paionians(-land) to-invade army therefore as most
ἀγείρας ἱππικήν τε καὶ πεζικὴν καὶ ὅπλα πολλὰ καὶ
having-gathered cavalry both and infantry and arms many and
μηχανὰς πετροβόλους καὶ ἀφετήρια ξυναγαγὼν καὶ
engines stone-throwing and launchers having-brought-together and
καλῶς παρασκευασάμενος πᾶσι τοῖς ὑπάρχουσι χειμῶνος,
well having-prepared with-all the possessions in-winter

εὐθὺς ἦρος ἀρχομένου ἔξεισι κατ᾽ αὐτῶν. Ἄρας οὖν ἐκ
at-once spring beginning goes-out against them having-set-out then from
τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ ἱππικῷ τε καὶ πεζικῷ,
the of-Hadrian(-city) with-all the army cavalry both and infantry
ξυνεπαγόμενος ἅμα οἱ καὶ τὰς μηχανὰς καὶ χαλκὸν καὶ
bringing-along at-once with-him also the engines and bronze and
σίδηρον ὅτι πολὺν, γίνεται κατὰ τὴν χώραν τῶν Βόστρων.
iron as much he-comes at the land of-the Bosnians
Καὶ γενόμενος ἐν αὐτῇ πρῶτα μὲν ἔγνω δεῖν ἐς
and having-come in it first indeed he-resolved to-be-needful to
Ἰάϊτζαν ἐλθεῖν καὶ ἐπιχειρῆσαι ταύτῃ, εἴ γε δύναιτο
Jajce to-go and to-attempt it if at-least he-could
παραστήσασθαι ἢ ὁμολογίᾳ ἢ τοῖς ὅπλοις βίᾳ, ἔπειτα
to-bring-to-terms either by-agreement or with-the arms by-force then
καὶ πρὸς τὰ ἄλλα χωρῆσαι. Προσελάσας οὖν αὐτῇ καὶ
also to the other(-things) to-go having-ridden-up then to-it and
στρατόπεδον βαλλόμενος πρὸ τοῦ ἄστεος, λόγους προσφέρει
camp pitching before the town words brings
πρῶτον τοῖς ἐν αὐτῇ περί (τε) ἐνδόσεως ἑαυτῶν τε καὶ
first to-the(-ones) in it about both surrender of-themselves both and
τοῦ ἄστεος τὰ πιστὰ λαβοῦσιν· ὡς δ᾽ οὐκ ἔπειθε,
of-the town the pledges for-those-having-received when but not he-persuaded
πρῶτα μὲν τὰ ἔξω τῆς χώρας ἐδῄωσε καὶ ἐνέπρησε
first indeed the(-parts) outside of-the land he-laid-waste and burned
πάντα, ἔπειτα χάρακα πρὸ τοῦ ἄστεος βαλλόμενος καὶ
all then palisade before the town pitching and
κύκλῳ περιλαβὼν τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσας
in-circle having-surrounded(-it) with-the army and engines having-set-up
ἐπολιόρκει, καὶ ἡμέρας μέν τινας οὐ πολλὰς κατέσειε τὸ
besieged(-it) and days indeed some not many shook the
τεῖχος καὶ κατερρίπτει ταῖς μηχαναῖς· ὡς δ᾽ ἱκανὸν ἐδόκει
wall and hurled-down with-the engines when but sufficient seemed

αὐτῷ τὸ καταρριφθὲν, παρεσκευάζετο προσβάλλειν τῷ
to-him the(-part) hurled-down he-prepared to-attack the
τείχει πάσῃ χειρὶ καὶ δυνάμει. Καλῶς οὖν ἐκτάξας τε
wall with-all hand and power well then having-drawn-up both
καὶ ὁπλίσας τὴν στρατιὰν προσέβαλλε πανταχόθεν, ἐπὶ
and having-armed the army he-attacked from-all-sides at
δὲ τὸ κατερριμμένον τοῦ τείχους ἔταξεν ἑαυτὸν ξὺν τῇ
and the hurled-down(-part) of-the wall posted himself with the
ἰδίᾳ αὐλῇ καὶ τῷ ἀκραιφνεῖ τοῦ στρατοῦ, ὁπλίταις τέ
own court and the unimpaired(-part) of-the army hoplites both
φημι καὶ τοξόταις καὶ σφενδονήταις καὶ τουφακοφόροις τὰ
I-mean and archers and slingers and musketeers the
μάλιστα. Εὐθὺς οὖν λαβόντες οἱ στρατιῶται τὸ ξύνθημα,
most at-once then having-received the soldiers the signal
μέγα καὶ φοβερὸν ἀλαλάξαντες ὁρμῇ πολλῇ καὶ
great and fearful having-raised-the-war-cry with-impulse much and
σπουδῇ ἐχώρουν δρόμῳ ἐπὶ τὸ κατερριμμένον τοῦ τείχους,
zeal went running to the hurled-down(-part) of-the wall
καὶ ἐπιβαίνειν ἐπειρῶντο βίᾳ. Οἱ δὲ δὴ Παίονες
and to-climb tried by-force the and indeed Paionians
ἀντεπίασι καὶ αὐτοὶ μάλα θρασέως τε καὶ εὐρώστως
counter-attack also themselves very boldly both and stoutly
μετὰ κραυγῆς ἀσήμου καὶ βοῆς· καὶ ξυνίσταται δὴ μάχη
with shouting inarticulate and cry and arises indeed battle
καρτερὰ ξυσταδὸν καὶ μέγας ἀγὼν ἐνταῦθα καὶ ὠθισμὸς
fierce hand-to-hand and great contest there and pushing
πολὺς καὶ βοὴ ξυμμιγὴς παρ᾽ ἀμφοτέρων καὶ βλασφημία
much and shout mingled from both and abuse
καὶ φόνος οὐκ ὀλίγος, καὶ ἀμφοτέρων ἀνδρῶν ἀγαθῶν
and slaughter not small and both men good
γινομένων, τῶν μὲν βιαζομένων ἐσελθεῖν καὶ λαβεῖν τὸ
becoming the(-ones) indeed forcing to-enter and to-take the

ἄστυ, τῶν δὲ ἀπεώσασθαι τούτους καὶ φυλάξαι τὰ
town the(-ones) and to-thrust-back them and to-guard the(-things)
ὄντα, παῖδάς τέ φημι καὶ γυναῖκας καὶ τὰ τιμιώτατα.
existing children both I-mean and wives and the most-precious(-things)
Καὶ ποτὲ μὲν βιαζόμενοι οἱ ὁπλῖται τοὺς Παίονας
and sometimes indeed forcing the hoplites the Paionians
ἐπεκράτουν καὶ ἐπέβαινον τοῦ τείχους, ποτὲ δὲ πάλιν
prevailed and mounted the wall sometimes and again
ὠθούμενοι ὑπὸ τῶν Παιόνων ἐξηλαύνοντο βίᾳ, καὶ
pushed by the Paionians were-driven-out by-force and
ἀπέθνησκον αὐτοῦ οὐκ ὀλίγοι μαχόμενοί τε καὶ πίπτοντες.
died there not few fighting both and falling
Καὶ τοῦτο ἐφ᾽ ἱκανὸν χρόνον ἐγίνετο, μαχομένων
and this for sufficient time went-on fighting
ἀμφοτέρων γενναίως· ἔπειτα ἐπεκράτουν πολλῷ οἱ Παίονες
both nobly then prevailed by-much the Paionians
καὶ οἱ ὁπλῖται πιεζόμενοι σφόδρα ἐκακοπάθουν, πίπτοντες
and the hoplites pressed exceedingly suffered falling
αὐτοῦ πολλοὶ γενναῖοι καὶ ἀγαθοὶ ἄνδρες. Βασιλεὺς δὲ
there many noble and good men emperor and
ὁρῶν οὕτω κακοπαθοῦντας καὶ ἀπολλυμένους τοὺς ἄνδρας
seeing so suffering and perishing the men
βαρέως ἔφερε σφόδρα, καὶ τότε μὲν ἀναχώρησιν σημήνας
heavily bore(-it) exceedingly and then indeed withdrawal having-signaled
ἐκέλευσεν ἔξω γενέσθαι βελῶν· καὶ ἀνεχώρουν· μετὰ δὲ
ordered outside to-come of-missiles and they-withdrew after and
ταῦτα πάλιν, ἐν οὐ πολλαῖς ἡμέραις, διαναπαύσας τε τὴν
these(-things) again in not many days having-rested both the
στρατιὰν καὶ ὁπλίσας καὶ ἐκτάξας καλῶς, προσέβαλλεν
army and having-armed and having-drawn-up well he-attacked
ἰσχυρῶς τῷ πολίσματι, καὶ ἦγεῖτο πρῶτος αὐτὸς, ἆθλά

τε προκηρύξας, τὰ δὲ καὶ προθεὶς πλεῖστα καὶ
both having-proclaimed the(-ones) and also having-set-forth very-many and
μέγιστα καὶ τιμὰς καὶ χάριτας οὐκ ὀλίγας τοῖς πρώτοις
greatest and honors and favors not few for-the first
ἐπιβᾶσι τοῦ τείχους, προσέτι δὲ καὶ διαρπαγὴν καὶ
having-mounted the wall besides and also plunder and
σκυλμὸν προσημήνας πάντων τῶν ἐν τῷ ἄστει. Καὶ οἱ
spoiling having-announced of-all the(-things) in the town and the
στρατιῶται μέγα καὶ φοβερὸν ἀλαλάξαντες εὐθὺς οἷά
soldiers great and fearful having-raised-the-war-cry at-once like
τινες πτηνοὶ ὁρμῇ πολλῇ καὶ δρόμῳ ἀτάκτως τε
some winged(-creatures) with-impulse much and running in-disorder both
καὶ ξὺν οὐδενὶ κόσμῳ καὶ λογισμῷ χωροῦσιν ἐπὶ τὸ τεῖχος
and with no order and reckoning go to the wall
καὶ ἐπιβαίνειν ἐπειρῶντο αὐτοῦ, οἱ μὲν κλίμακας
and to-climb tried it the(-ones) indeed ladders
ἐπιτιθέντες, οἱ δὲ σχοίνους ἐξαρτῶντες, οἱ δὲ
placing the(-ones) and ropes hanging the(-ones) and
πασσάλους ἐγκαταπηγνύντες τῷ τείχει, οἱ δὲ ἄλλῳ τῳ
stakes fixing-in the wall the(-ones) and by-other any
τρόπῳ δυνατῷ βιαζόμενοι ἐσελθεῖν, ἅτε γὰρ τοῦ βασιλέως
way possible forcing to-enter as for the emperor
παρόντος καὶ θεωμένου τὰ δρώμενα καὶ τὴν ἑκάστου
being-present and watching the(-things) being-done and the of-each
καὶ ὁρμὴν καὶ σπουδὴν καὶ ῥώμην καὶ ἀνδρίαν καὶ τάξιν,
both impulse and zeal and strength and courage and rank
καὶ ἆθλα μέγιστα προσδοκῶντες ἐκ τούτου λήψεσθαι οὐ
and prizes greatest expecting from this to-take not
μικρὰ ἐφρόνουν, ἀλλ᾽ ἕκαστος πρῶτος αὐτός τε εἶναι
small(-things) they-thought but each first himself both to-be
ἐβούλετο καὶ ὁ τοῦ τείχους ἐπιβὰς καὶ ὁ

Παίονα κτείνας καὶ ὁ τὴν σημαίαν τῷ τείχει καὶ τῇ
Paionian having-killed and the(-one) the standard to-the wall and the
ἐπάλξει προσαγαγών. Οἱ δὲ δὴ Παίονες εὐρώστως μάλα
battlement having-brought the and indeed Paionians stoutly very
καὶ μετὰ θράσους ὅτι πολλοῦ καὶ ὁρμῆς καὶ τάχους ξὺν
and with boldness as much and impulse and speed with
βοῇ ἀσήμῳ ἀπήντων τε καὶ ἐδέχοντο τούτους γενναίως
shout inarticulate met both and received them nobly
καὶ ἰσχυρῶς· καὶ ξυνίσταται μάχη τις ἐνταῦθα καρτερὰ
and strongly and arises battle some there fierce
καὶ φρικώδης, καὶ οἵαν οὐδεὶς οὔτ' εἶδεν οὔτ' ἤκουσεν ἐπὶ
and dreadful and such-as no-one neither saw nor heard in
τειχομαχίᾳ γεγενημένην ποτὲ, καὶ μάλιστα δὴ περὶ τὸ
wall-fighting having-happened ever and most indeed around the
κατερριμμένον τοῦ τείχους· μεθυσθέντες γὰρ τῷ πολέμῳ
hurled-down(-part) of-the wall made-drunk for by-the war
καὶ ὅλους δι' ὅλων ἑαυτοὺς ἐκδόντες ὀργῇ καὶ θυμῷ,
and wholly through whole themselves having-given-over to-anger and fury
καὶ σχεδὸν τὴν φύσιν ἠγνοηκότες, κατέκαινον ἀλλήλους καὶ
and nearly the nature having-forgotten they-killed one-another and
κατέκοπτον ἀνοικτὶ, βάλλοντες, βαλλόμενοι, τιτρώσκοντες,
cut-down pitilessly shooting being-shot wounding
τιτρωσκόμενοι, φονεύοντες, φονευόμενοι, βοῶντες, ὑβρίζοντες,
being-wounded slaughtering being-slaughtered shouting insulting
βλασφημοῦντες, μηδενὸς ἐπαισθανόμενοι τῶν παρόντων
blaspheming nothing perceiving of-the present(-things)
ὅλως ἢ τῶν δρωμένων, ὥσπερ οἱ μαινόμενοι.
at-all or of-the(-things) being-done as the(-ones) raging
Ἔπιπτον οὖν πολλοὶ καὶ ἀγαθοὶ ἄνδρες μαχόμενοι τῶν τε
fell then many and good men fighting of-the both
ὁπλιτῶν καὶ τῶν ἀπὸ τῆς βασιλικῆς αὐλῆς μάλιστα,
hoplites and of-the(-ones) from the royal court most

ἀφειδοῦντές τε ἑαυτῶν καὶ αἰσχυνόμενοι τῷ πρὸ ὀφθαλμῶν
unsparing both of-themselves and ashamed by-the before eyes
ὁρᾶν τὸν βασιλέα· ξὺν αὐτοῖς γὰρ ἦν ἀγωνιζόμενος.
to-see the emperor with them for he-was contending
Οἱ δὲ Παίονες ἐπεκράτουν πολλῷ πανταχοῦ, ἄνωθέν
the and Paionians prevailed by-much everywhere from-above
τε μαχόμενοι καὶ ἐξ ὑπερδεξίων βάλλοντες καὶ μάλα
both fighting and from above shooting and very
εὐρώστως ἀγωνιζόμενοι· ἦσαν γὰρ ἅπαντες ἀγαθοὶ καὶ
stoutly contending they-were for all good and
μάχιμοι ἄνδρες, ἀριστίνδην ἐξειλεγμένοι. Βασιλεὺς δὲ ὁρῶν
warlike men by-merit chosen emperor and seeing
τοὺς ἄνδρας φθειρομένους παρὰ πολὺ, τό τε ἔργον οὐδαμοῦ
the men being-destroyed by much the both work nowhere
προχωροῦν ἔτι, ἀλλ' ἐς ἀδύνατα σχεδὸν καθιστάμενον
advancing any-longer but to impossibilities nearly coming
τὸ πολέμῳ καὶ ὅπλοις ἐκ προσβολῆς βίᾳ τὸ ἄστυ ἑλεῖν,
the by-war and arms by assault by-force the town to-take
λιμῷ δὲ μόνον καὶ πολιορκίᾳ μακρᾷ, ἀναχώρησιν ἐσήμηνε
by-hunger but only and siege long withdrawal signaled
τῇ στρατιᾷ· καὶ ἐγένοντο ἔξω βελῶν. Ἀναχωρήσας οὖν
to-the army and they-came outside missiles having-withdrawn then
ἐς τὸ στρατόπεδον ὁ βασιλεὺς παρεσκευάζετο ἐς μὲν
to the camp the emperor prepared to indeed
τὸ ἄστυ στρατιὰν ἱκανὴν ἀπολιπεῖν πολιορκοῦσάν τε καὶ
the town army sufficient to-leave besieging both and
φυλάσσουσαν τοῦ μή τι τῶν ἔνδον ἐξαγαγεῖν ἢ
guarding from-the not anything of-the(-things) within to-bring-out or
τῶν ἔξωθεν ἐσκομίσασθαι, αὐτὸς δὲ ξὺν τῇ λοιπῇ
of-the(-things) from-outside to-bring-in himself and with the rest

στρατιᾷ ἔς τε τὴν ἄλλην χώραν ἐσβαλεῖν ἐπὶ τὰ
army into both the other land to-invade against the
ἀποστάντα τῶν φρουρίων, ἀλλὰ δὴ καὶ ἐς τὴν Παιόνων.
revolted(-ones) of-the fortresses but indeed also into the of-Paionians(-land)
Ἐν τούτῳ δὲ ἦκεν ἀγγελία φράζουσα τὸν βασιλέα 6.1
in this and came report telling the king
Παιόνων στρατιὰν ὅτι πλείστην ἀγείραντα ὅσον οὐκ ἤδη
of-Paionians army as most having-gathered all but already
ἐπιέναι αὐτῷ. Οὗτος γὰρ εὐθὺς ὡς ἔγνω τὴν ἐς τὴν
to-attack him this-one for at-once when he-learned the into the
Βόστρων ἐσβολὴν τοῦ βασιλέως καὶ τὴν τοῦ ἄστεος
of-Bosnians invasion of-the emperor and the of-the town
Ἰαΐτζης πολιορκίαν, στρατιὰν μεγάλην ἀθροίσας καὶ πᾶσιν
Jajce siege army great having-collected and with-all
οἷς εἶχεν ἱκανῶς παρασκευασάμενος ἐξῄει ἐναντία τῷ
which he-had sufficiently having-prepared went-out against the
βασιλεῖ, νομίσας οὕτως ἢ λύσειν τὴν πολιορκίαν τοῦ
emperor having-thought so either to-break the siege of-the
ἄστεος, τρέψαντα ἐς ἑαυτὸν τόν τε βασιλέα καὶ τὴν
town having-turned toward himself the both emperor and the
στρατιὰν, ἢ δίχα διαιρεθείσης τῆς στρατιᾶς ἔς τε πόλεμον
army or in-two divided the army into both war
καὶ πολιορκίαν, ἀσθενεστέρῳ χρήσεσθαι προσπολεμῆσαι τῷ
and siege weaker(-one) to-have to-fight-against the
βασιλεῖ· ἀλλ' ἐσφάλη τῆς γνώμης. Βασιλεὺς γὰρ τοῦτο
emperor but he-was-deceived in-the judgment emperor for this
μαθὼν, αὐτὸς μὲν ἐς Ἰάϊτζαν μένειν ἐγνώκει δεῖν
having-learned himself indeed at Jajce to-remain resolved to-be-needful
πολιορκῶν καὶ μηδαμοῦ ταύτης ἀπαναστῆναι, Μαχουμούτεα
besieging and nowhere from-it to-rise-up Mahmud
δὲ, δοὺς αὐτῷ στρατιὰν ἱκανὴν ἱππικήν τε καὶ πεζικὴν
and having-given to-him army sufficient cavalry both and infantry

καὶ μέρος οὐκ ὀλίγον τῆς ἰδίας αὐλῆς, ἐξέπεμψεν ἐναντία
and part not small of-the own court sent-out against
τῷ βασιλεῖ Παιόνων· οὐ γὰρ αὐτός γε ἠξίου διὰ μάχης
the king of-Paionians not for himself at-least deemed-fit through battle
τούτῳ ἰέναι. Μαχουμούτης δὲ τὴν στρατιὰν ἀναλαβὼν
with-this-one to-go Mahmud and the army having-taken
ἤλαυνε κατὰ σπουδήν· καὶ γενόμενος ἔγγιστά που τῶν
drove with haste and having-come nearest somewhere to-the
πολεμίων στρατοπεδεύεται αὐτοῦ. Ἦν δὲ τὸ μεταξὺ τοῖν
enemies encamps there was and the between the
στρατοπέδοιν στάδιά που μάλιστα πέντε καὶ εἴκοσιν, ὥστε
two-camps stades about most five and twenty so-as
ἀλλήλους ὁρᾶν· διείργε δὲ αὐτοὺς μέσος ἀπ' ἀλλήλων
one-another to-see separated and them in-the-middle from one-another
Ἐρυγὼν ποταμὸς, ὃς τῇ ἐπιχωρίῳ φωνῇ νῦν Βρῦνος
Erygon river which in-the native tongue now Vrbas
καλεῖται· ἐνταῦθα γὰρ ἦν ἐστρατοπεδευκὼς πέραν τοῦ
is-called there for was having-encamped across the
ποταμοῦ ὁ τῶν Παιόνων βασιλεύς. Μαχουμούτης μὲν
river the of-the Paionians king Mahmud indeed
οὖν ἐβούλετο διαβὰς τὸν ποταμὸν ξυμμίξαι τοῖς Παίοσι,
then wished having-crossed the river to-engage the Paionians
βασιλεὺς δὲ πέμπων διεκώλυεν αὐτὸν, μηδεμίαν ἀνάγκην
emperor and sending prevented him no necessity
εἶναι λέγων, τό γε νῦν ἔχον, τῆς τοῦ ποταμοῦ διαβάσεως,
to-be saying the at-least now being of-the of-the river crossing
ἀλλ' ἀρκεῖν μένοντα αὐτόθι ἐφεδρεύειν τοῖς τῶν πολεμίων
but to-suffice remaining there to-lie-in-wait for-the of-the enemies
πράγμασι. Μαχουμούτης μὲν οὖν ἔμενεν ἡσυχάζων καὶ
affairs Mahmud indeed then remained keeping-quiet and
τὰ τῶν πολεμίων ἀποσκοπῶν. Ὁ δὲ τῶν Παιόνων
the(-things) of-the enemies watching the and of-the Paionians

ἡγεμὼν, ὡς ἔγνω τόν τε βασιλέα πολιορκοῦντα τὸ ἄστυ
leader when he-learned the both emperor besieging the town
καὶ μηδαμοῦ τούτου ἀπανιστάμενον, καὶ τὸν Μαχουμούτεα
and nowhere from-it rising-up and — Mahmud
μετὰ στρατιᾶς ὅτι πλείστης ἐφεδρεύοντα αὐτῷ, ἀπογνοὺς
with army as greatest lying-in-wait for-him having-despaired
ὅλως τοῦ φανερῶς δύνασθαι βοηθῆσαι τῷ ἄστει, πέμψας
wholly of-the openly to-be-able to-help the town having-sent
ἄγγελον κρύφα διειλέχθη τοῖς ἐν αὐτῷ ἀντέχειν τε καὶ
messenger secretly conversed with-the(-ones) in it to-hold-out both and
μηδαμοῦ ἐνδιδόναι, ὡς ταχείας τε οὔσης τῆς τοῦ βασιλέως
nowhere to-surrender as quick both being the of-the emperor
ἀναχωρήσεως πάλιν, καὶ αὐτὸς δὲ οὐ περιιδεῖν, ἀλλὰ
withdrawal again and himself too not to-overlook but
καιροῦ καλοῦντος καὶ χρείας ἀναγκαίας κατεπειγούσης,
time calling and need necessary pressing
βοηθήσειν τὰ δυνατὰ, ἐγγὺς αὐτοῦ που τυγχάνων.
to-help-with the possible(-means) near there somewhere happening(-to-be)
Κἀκείνοις μὲν ταῦτα. Αὐτὸς δὲ τὸ στρατόπεδον ἐμπρήσας
and-to-those indeed these(-things) himself and the camp having-burned
νυκτὸς ἀπάρας ᾤχετο ξὺν τῇ στρατιᾷ. Μαχουμούτης δ' ὡς
by-night having-set-out went-off with the army Mahmud and when
ἤσθετο, κατὰ τάχος διαβὰς τὸν ποταμὸν ἤλαυνε κατὰ
he-perceived with speed having-crossed the river drove with
σπουδὴν διώκων, καὶ καταλαβὼν αὐτοὺς, ξυμβάλλει τοῖς
haste pursuing and having-overtaken them engages the(-ones)
ὄπισθεν, μέρος οὖσι τῆς στρατιᾶς οὐκ ὀλίγον ἐς φυλακὴν
behind part being of-the army not small for guard
τῶν σκευοφόρων, καὶ τρεψάμενος ἐδίωκε μέχρι τῆς
of-the baggage-train and having-routed(-them) pursued as-far-as the
ἄλλης στρατιᾶς· οἱ δ' ἐπεσπεσόντες ἄφνω, διετάραξάν τε
other army they and having-fallen-upon suddenly confounded both

αὐτὴν καὶ τὸν βασιλέα, καὶ φυγὴ γίνεται καρτερὰ, πάντων
it and the king and flight comes-about violent all
ὁμοῦ φευγόντων ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ καὶ
together fleeing in-disorder both and with no order and
λογισμῷ. Μαχουμούτης δὲ εἵπετο κτείνων τε καὶ φονεύων
reckoning Mahmud and followed killing both and slaughtering
σφᾶς ἀνοικτὶ, διώξας δὲ μέχρι πολλοῦ καὶ φόνον πολὺν
them pitilessly having-pursued and until far and slaughter much
ἐργασάμενος καὶ πολλοὺς ζωγρήσας ἀνεχώρησε καὶ ἦκεν
having-worked and many having-taken-alive withdrew and came
ἐς βασιλέα, λαβὼν πᾶσαν αὐτῶν τὴν ἀποσκευὴν καὶ
to emperor having-taken all their the baggage and
τὰς ἁμάξας καὶ ὅπλα καὶ ἵππους καὶ τοὺς σκευοφόρους
the wagons and arms and horses and the baggage-carriers
αὐτούς. Ἀπέθανον δὲ τῶν πολεμίων πλεῖστοι, ἐλήφθησαν
themselves died and of-the enemies very-many were-taken
δὲ καὶ ζῶντες ὀλίγῳ ἐλάσσους διακοσίων, οὓς ὕστερον
and also alive by-little fewer than-two-hundred whom later
ἀγαγὼν ἐν Βυζαντίῳ πάντας ἀπέκτεινεν ὁ βασιλεύς.
having-brought to Byzantium all killed the emperor
Αὐτὸς δὲ ἡμέρας οὐ πολλὰς ἐπιμείνας τῇ πολιορκίᾳ καὶ
himself and days not many having-remained at-the siege and
πολυτρόπως πειράσας τοῦ ἄστεος, ὡς οὐδὲν ἤνυεν,
in-many-ways having-tried the town when nothing he-accomplished
ἀπογνοὺς τὴν αἵρεσιν τούτου, ἀναλαβὼν τὴν στρατιὰν
having-despaired-of the taking of-it having-taken the army
τρέπεται πρὸς τὰ λοιπὰ τῶν φρουρίων, καὶ παραστησάμενος
turns to the rest of-the fortresses and having-brought-to-terms
ταῦτα ἐν οὐ πολλαῖς ἡμέραις, τοῖς μὲν, ὅσα γε
these in not many days in-the(-ones) indeed as-many-as at-least
ἐδόκει αὐτῷ, φρουρὰς ἐγκαθίστησιν ἰσχυρὰς, ἔστιν ἃ
seemed(-good) to-him garrisons establishes strong it-is which

δὲ καὶ κατέσκαψε· τοὺς δὲ ἄνδρας ἀπέκτεινε, παῖδας δὲ
and also he-razed the and men killed children and
καὶ γυναῖκας ἠνδραποδίσατο. Καταδραμὼν δὲ καὶ τῆς
and women enslaved having-overrun and also of-the
ἄλλης χώρας τὸ πλεῖστον, ἀλλὰ δὴ καὶ τῆς Παιόνων
other land the most but indeed also of-the of-Paionians(-land)
οὐκ ὀλίγον, καὶ λείαν ἐλάσας ὅτι πολλὴν αὐτὸς καὶ τῇ
not little and booty having-driven as much himself and to-the
στρατιᾷ διαδοὺς καὶ σατράπην τῇ χώρᾳ καταλιπὼν,
army having-distributed and satrap for-the land having-left
θέρους λήγοντος ἤδη ἐπάνεισιν ἐς τὴν Κωνσταντίνου,
summer ending already returns to the of-Constantine(-city)
καὶ διέλυσε τὴν στρατιάν. Καὶ ὁ μὲν βασιλεὺς οὕτως.
and dissolved the army and the indeed emperor thus
Ἐνετοὶ δὲ τοῦ αὐτοῦ θέρους ἐστράτευσαν ἐπὶ Λέσβον καὶ 7.1
Venetians and of-the same summer campaigned against Lesbos and
Μιτυλήνην τριήρεσι ἑβδομήκοντα καὶ ὁλκάσι μεγάλαις καὶ
Mytilene with-triremes seventy and merchantmen great and
τρισχιλίοις ὁπλίταις, οὓς εἶχον ἐπὶ τῶν καταστρωμάτων,
three-thousand hoplites whom they-had on the decks
ἔφερον δὲ καὶ ὅπλα πολλὰ ἐν ταῖς ὁλκάσι καὶ μηχανὰς
they-carried and also arms many in the merchantmen and engines
πετροβόλους καὶ ἀφετήρια καὶ κλίμακας καὶ πᾶσαν ἄλλην
stone-throwing and launchers and ladders and all other
κατασκευὴν τῶν ἐς τειχομαχίαν ἐπιτηδείαν. Καὶ
equipment of-the(-things) for wall-fighting suitable and
ἀφικόμενοι ἐς Λέσβον κατῆραν ἐς τὸν λιμένα Μιτυλήνης,
having-arrived at Lesbos put-in into the harbor of-Mytilene
καὶ ἀποβάντες στρατόπεδον τιθέασι πρὸ τῆς πόλεως, καὶ
and having-disembarked camp set before the city and
προσφέρουσι λόγους τοῖς ἐν τῇ πόλει περὶ ἐνδόσεως
bring words to-the(-ones) in the city about surrender

ἑαυτῶν τε καὶ τῆς πόλεως. Οἱ δὲ οὐκ ἐδέξαντο·
of-themselves both and of-the city they and not accepted
ἦσαν γὰρ ἐν αὐτῇ φρουροὶ ἄνδρες λογάδες κατάφρακτοι
there-were for in it guards men picked armored
τετρακόσιοι τῶν ἀπὸ τῆς βασιλικῆς αὐλῆς. Οἱ δὲ
four-hundred of-the(-ones) from the royal court they and
πρῶτον μὲν ἔκειραν μέρος τι τῆς γῆς· οὐ γὰρ ἐβούλοντο
first indeed ravaged part some of-the land not for they-wished
πᾶσαν δῃῶσαι, προσδοκῶντες αὐτὴν λήψεσθαι· μετὰ δὲ
all to-lay-waste expecting it to-be-going-to-take after and
τοῦτο περισχόντες ἐν κύκλῳ πᾶσαν τὴν πόλιν τῷ στρατῷ
this having-surrounded in circle all the city with-the army
κατὰ γῆν τε καὶ κατὰ θάλασσαν ταῖς ναυσὶ, καὶ μηχανὰς
by land both and by sea with-the ships and engines
ἐπιστήσαντες ἐπολιόρκουν. Καὶ τοῦ μὲν τείχους αὐτοὶ
having-set-up besieged(-it) and of-the indeed wall they
μὲν κατέσειον ἡμέρας τι μέρος μικρὸν ταῖς μηχαναῖς
indeed shook by-day some part small with-the engines
καὶ κατερρίπτουν· οἱ δὲ ἐν τῇ πόλει πάλιν ἀνώρθουν
and hurled-down the(-ones) and in the city again set-upright
αὐτὸ νυκτὸς, λίθους τε καὶ ξύλα καὶ χοῦν ἐπιφοροῦντες,
it by-night stones both and timbers and soil bringing-on
προσέτι δὲ καὶ κεραίας μεγάλας ἐπάγοντες περιεσταύρουν
besides and also beams great bringing-up palisaded
τὸ τεῖχος, τὰς δὲ καὶ ἐξαρτῶντες ἁλύσεσιν, ἐξεκαύλιζον
the wall the(-beams) and also hanging-out by-chains cut-short
τὴν φορὰν τῶν λίθων, καὶ οὐδὲν τοσοῦτον ἐβλάπτοντο.
the motion of-the stones and nothing so-much were-harmed
Ἐγίνοντο δὲ καὶ καθ' ἡμέραν ἀκροβολισμοί τινες καὶ
happened and also by day skirmishes some and
ἐπεκδρομαὶ ἐπεξιόντων τῶν βασιλείων τοῖς Ἐνετοῖς·
sallies sallying the emperor's(-men) against-the Venetians

οὐ μὴν καὶ ἀπέθνησκόν τινες, ἀλλ' ἐτιτρώσκοντο μόνον
not indeed also died any but were-wounded only
πολλοί. Ὑπώρυττον δὲ καὶ τὸ τεῖχος ἔστιν οὗ, ὑπονόμους
many they-undermined and also the wall it-is where tunnels
πρὸς τὴν πόλιν ποιοῦντες, καὶ κλίμακας ἐπήγνυσαν, καὶ
toward the city making and ladders fixed and
μηχανὰς παντοίας ἐξήρτυον. Προσεχώρησαν δὲ αὐτοῖς καὶ
engines of-all-kinds fitted-out went-over and to-them also
τῶν ἄλλων πολισμάτων δύο, καὶ ἦσαν ἐν ἐλπίσιν ἤδη
of-the other towns two and they-were in hopes already
μεγίσταις καὶ Μιτυλήνην ἑλεῖν καὶ τὴν ἄλλην πᾶσαν
greatest both Mytilene to-take and the other all
Λέσβον κατασχεῖν καὶ χειρώσασθαι. Καὶ οἱ μὲν ἐν τούτοις
Lesbos to-seize and to-subdue and they indeed in these(-things)
ἦσαν. Βασιλεὺς δὲ μαθὼν τὴν ἐς Μιτυλήνην ἔφοδον τοῦ
were emperor and having-learned the to Mytilene approach of-the
στόλου τῶν Ἐνετῶν καὶ τὴν πολιορκίαν αὐτῆς, καὶ ὡς
fleet of-the Venetians and the siege of-it and how
κινδυνεύει παρ' αὐτῶν ἁλῶναι, εἰ μὴ τάχιστα τύχοι
it-is-in-danger by them to-be-taken if not most-quickly it-should-obtain
βοηθείας, εὐθὺς θᾶττον ἢ λόγος πληρώσας τριήρεις δέκα
help at-once quicker than word having-manned triremes ten
καὶ ἑκατὸν, καὶ ὁπλίτας ἐπιβιβάσας ὅτι πολλοὺς καὶ ὅπλα
and hundred and hoplites having-put-aboard as many and arms
παντοῖα καὶ ἀφετήρια, καὶ πᾶσιν οἷς εἶχεν ἐξαρτύσας τε
all-kinds and launchers and with-all which he-had having-fitted-out both
καὶ ὁπλίσας καλῶς, παραδίδωσι Μαχουμούτει τῷ πασίᾳ
and having-armed well hands-over to-Mahmud the pasha
τὸν στόλον, κελεύσας πλεῖν τὴν ταχίστην καὶ ξυμβαλεῖν
the fleet having-ordered to-sail the quickest and to-engage
ταῖς τῶν πολεμίων ναυσὶν, ὅπου ἂν τύχωσιν οὖσαι.
with-the of-the enemies ships where — they-might-happen being

Ὁ δὲ ἀναχθεὶς ἀπὸ τοῦ Βυζαντίου ἔπλεε τὸν Ἑλλήσποντον
he and having-put-out from — Byzantium sailed — Hellespont
καὶ καταίρει δευτεραῖος ἐς Καλλιούπολιν, κἀκεῖ μαθὼν
and lands on-the-second-day at Kallipolis and-there having-learned
τέσσαρας τριήρεις τῶν πολεμίων προσκόπους ἐφορμούσας
four triremes of-the enemies scouts lying-at-anchor
τῷ λιμένι Τενέδου, αἳ δὴ καὶ μέχρι τοῦ στόματος τοῦ
at-the harbor of-Tenedos which indeed also as-far-as the mouth of-the
πορθμοῦ διαπλέουσαι ἐς κατασκοπὴν πάλιν ὑπέστρεφον,
strait sailing-through for reconnaissance again returned
μηδὲν μελλήσας εὐθὺς νυκτὸς ἀναχθεὶς ἀπὸ Καλλιουπόλεως
nothing having-delayed at-once by-night having-put-out from Kallipolis
παντὶ τῷ στόλῳ, ἵνα μὴ ἔκπυστος γένηται θεαθείς,
with-all the fleet so-that not discovered he-might-become being-seen
καὶ πνεύμασιν αἰσίοις χρησάμενος, ἅμα ἡμέρᾳ κατήχθη ἐς
and winds favorable having-met at-once with-day put-in at
Τένεδον. Καὶ καταλαμβάνει δὴ τὰς τριήρεις ἐν τῷ λιμένι
Tenedos and overtakes indeed the triremes in the harbor
ὁρμούσας, καὶ τὰς μὲν δύο αὐτάνδρους λαμβάνει πρὸς τῷ
anchored and the indeed two with-their-crews takes at the
στόματι τοῦ λιμένος· οὐ γὰρ ἔφθησαν προεκπεπλευκυῖαι·
mouth of-the harbor not for they-were-first having-sailed-out
αἱ δὲ ἕτεραι δύο προαναχθεῖσαι μόγις διέφυγον·
the(-ones) and other two having-put-out-first scarcely escaped
ἦσαν δὲ τῶν ἄριστα πλεουσῶν, καὶ σπεύσασαι τάχιστα
they-were and of-the best sailing(-ones) and having-hastened most-quickly
ἀφικνοῦνται ἐς Μιτυλήνην καὶ ἀπαγγέλλουσι τοῖς στρατηγοῖς
arrive at Mytilene and report to-the generals
τὸν ἐπίπλουν τοῦ στόλου τοῦ βασιλέως καὶ τὴν ἅλωσιν
the sailing-against of-the fleet of-the emperor and the capture
τῶν δύο νεῶν. Οἱ δ' εὐθὺς ἀκούσαντες ὥσπερ σκηπτῷ
of-the two ships they and at-once having-heard as by-thunderbolt

τινι βληθέντες τῇ ἀγγελίᾳ, πάντα καταλιπόντες αὐτοῦ καὶ
some struck by-the news all having-abandoned there both
μηχανὰς καὶ ὅπλα καὶ πᾶσαν ἄλλην ἀποσκευὴν, ἐσβάντες
engines and arms and all other baggage having-embarked
ἐς τὰς τριήρεις ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ καὶ
into the triremes in-disorder both and with no order and
λογισμῷ, λαβόντες τε μεθ' ἑαυτῶν καὶ τοὺς ἄνδρας καὶ
reckoning having-taken both with themselves also the men and
γυναῖκας καὶ παῖδας τῶν προσχωρησάντων φρουρίων αὐτοῖς,
women and children of-the having-gone-over fortresses to-them
ἀνήχθησαν πρὸ τοῦ τὸν στόλον τοῦ βασιλέως καταῖραι
put-out before the the fleet of-the emperor to-land
ἐς Μιτυλήνην, διάστημα ὡσεὶ ὡρῶν ὀκτὼ, ὡς λέγεται·
at Mytilene interval about of-hours eight as is-said
Μαχουμούτης δὲ ἀφικόμενος ἐς Μιτυλήνην καὶ μαθὼν
Mahmud and having-arrived at Mytilene and having-learned
προαναχθέντας πρὸ ὀλίγου αὐτοὺς, ἐδίωκε κατὰ σπουδὴν,
having-put-out-first before little them pursued with haste
καὶ γενόμενος ἐπὶ μετεώρου πελάγιος, μόλις καθορᾷ αὐτὰς
and having-come to open-sea on-the-high-sea scarcely sees them
προσισχούσας τῇ Λήμνῳ. Ἀπογνοὺς οὖν τὴν τούτων δίωξιν
putting-in — at-Lemnos having-despaired then the of-these pursuit
ἐπάνεισιν ἐς Μιτυλήνην, καὶ διαγαγὼν ἐνταῦθα ἡμέρας
returns to Mytilene and having-spent there days
τέσσαρας καὶ καταστησάμενος τὰ αὐτοῦ πάντα καλῶς,
four and having-settled the(-things) there all well
καὶ φρουρὰν ἱκανὴν καὶ ὅπλα καὶ σῖτον πολὺν καὶ ἄλλα
and garrison sufficient and arms and grain much and other
ἄττα τὰ πρὸς χρείαν τῇ πόλει καταλιπὼν, ἐπάνεισιν
some the(-things) for need for-the city having-left returns
ἐς τὸ Βυζάντιον, φθινοπώρου φθίνοντος ἤδη, καὶ διέλυσε τὸν
to — Byzantium autumn waning already and dissolved the

στόλον. Καὶ δεύτερον δὴ καὶ ἑβδομηκοστὸν ἔτος πρὸς τοῖς
fleet and second indeed and seventieth year besides the
ἐννακοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο,
nine-hundred both and six-thousand in-the total was-being-completed
τέταρτον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.
fourth and and tenth of-the rule for-the emperor
8.1 Ὤφθη δὲ κατὰ τὰς αὐτὰς ἡμέρας καὶ τέρας τι ἐξαίσιον.
was-seen and in the same days also portent some extraordinary
Ὁ γὰρ ἥλιος, μεσημβρίας οὔσης σταθερᾶς, λάμπων τε
the for sun midday being steady shining both
καθαρὸς καὶ νέφους ἐκτὸς, αἴφνης μεταβαλὼν ἐσκοτίσθη
clear and of-cloud outside suddenly having-changed was-darkened
καὶ ἠμαυρώθη, καὶ τὸ εἶδος αὑτοῦ ἤμειψεν ὡς ἐς
and was-dimmed and the appearance of-itself exchanged as into
χαλκοῦ μέλανος χροιὰν, καὶ γέγονε ζοφώδης ὅλος καὶ
of-bronze black color and became gloomy whole and
μέλας, οὐ κατὰ τὸ εἰωθὸς ὥσπερ ἐν ταῖς ἐκλείψεσιν· οὐ
black not according-to the custom as in the eclipses not
γὰρ ἦν ἔκλειψις τότε· ἀλλ᾽ ἄλλον τινὰ τρόπον καινότατον,
for was eclipse then but other some way newest
ὥσπερ ὁμίχλης τινὸς ἢ νέφους ἀχλυώδους καὶ σκοτεινοῦ
as of-mist some or of-cloud murky and dark
ὑποτρέχοντος αὐτὸν καὶ ἐπηλυγάζοντος, καὶ διαγέγονεν ἐν
running-under it and overshadowing and it-continued in
τρισὶ ταῖς ὅλαις ἡμέραις καὶ νυξὶ ἴσαις τοιοῦτος καὶ ὢν
three the whole days and nights equal such both being
καὶ πᾶσι φαινόμενος. Τοῦτο τέρας τι μέγα καὶ θεοσημεία
and to-all appearing this portent some great and divine-sign
τις ἄντικρυς ἔδοξε πᾶσιν ἐς τὸ μέλλον μεγάλα κακὰ
some openly it-seemed to-all for the future great evils

προφοιβάζουσα· ἃ δὴ καὶ μετ᾽ ὀλίγον ἐπηκολούθησε.
foretelling which indeed also after a-little followed
Καὶ τοῦτο μέντοι τοιοῦτον.
and this indeed such
Βασιλεὺς δὲ παραχειμάζων ἐν Βυζαντίῳ τῶν τε ἄλλων 9.1
emperor and wintering in Byzantium of-the both other(-things)
ἐπεμέλετο, φημὶ δὴ τῶν ἐς ξυνοίκησίν τε καὶ
took-care I-mean indeed of-the(-things) for settlement both and
κατασκευὴν καὶ κόσμον τῆς ὅλης πόλεως, καὶ δὴ καὶ τὰ
equipment and adornment of-the whole city and indeed also the
βασίλεια ἐξετέλεσε, χρῆμά τι κάλλιστον καὶ τῶν ἐς
palaces he-completed thing some finest and of-the(-things) for
θέαν καὶ τέρψιν ὁμοῦ καὶ κατασκευὴν καὶ κάλλος οὐδενὸς
sight and delight together and equipment and beauty in-nothing
λειπόμενα τῶν ὀνομαστῶν καὶ λαμπρῶν καὶ δὴ καὶ
falling-short of-the renowned and brilliant and indeed also
παλαιῶν οἰκοδομημάτων καὶ θεαμάτων· πύργοι τε γὰρ ἐν
ancient buildings and sights towers both for in
αὐτοῖς ᾠκοδόμηντο ἐς ὕψος τε ἠρμένοι καὶ ἐς κάλλος καὶ
them had-been-built to height both raised and for beauty and
μέγεθος ἠσκημένοι, καὶ ἀνδρεῶνες καὶ γυναικωνῖται καὶ
size adorned and men's-halls and women's-quarters and
θάλαμοι τρίκλινοί τε καὶ κοιτῶνες καὶ δωμάτια πλεῖστα καὶ
chambers three-couched both and bedrooms and rooms very-many and
κάλλιστα καὶ οἰκίσκοι διάφοροι, ἔτι δὲ πρόδομοί τε καὶ
finest and small-houses various further and vestibules both and
αὐλαὶ καὶ προαύλια καὶ πυλῶνες καὶ πρόθυρα καὶ ὀπτανεῖα
courts and forecourts and gateways and porches and kitchens
καὶ λουτρὰ λόγου ἄξια, καὶ περίβολος μέγιστος ὁ
and baths of-account worthy and enclosure greatest the(-one)
περιέχων αὐτά· ἃ πάντα, ᾗπερ ἔφην, ἔς τε ποικιλίαν
surrounding them which all as I-said for both variety

ὁμοῦ καὶ κάλλος καὶ μέγεθος καὶ πολυτέλειαν ἤσκητο,
together and beauty and size and costliness had-been-adorned
χρυσῷ τε πολλῷ καὶ ἀργύρῳ περιλαμπόμενά τε καὶ
with-gold both much and silver shining-around both and
καταστραπτόμενα πάντοθεν, ἔσωθέν τε καὶ ἔξωθεν, καὶ
flashing on-all-sides from-within both and from-without and
λίθων διαφανῶν καὶ μαρμάρων διαφόροις ἀγλαΐαις τε
of-stones translucent and marbles with-various splendors both
καὶ χροιαῖς καὶ ποικιλίαις κεκοσμημένα, στιλπνότητι καὶ
and colors and varieties adorned in-brightness and
λειότητι καὶ διαυγείᾳ νικώντων, καὶ τέχνῃ τῇ πρώτῃ τε
smoothness and transparency surpassing and with-art the first both
καὶ καλλίστῃ διὰ πάντων φιλοτίμως ἐξειργασμένα, ὅση
and finest through all lavishly worked-out as-much-as
τε γλυφικὴ καὶ πλαστικὴ καὶ ὅση γραφικὴ νενίκηκεν
both carving and modeling and as-much-as painting has-won
εἶναι ἀρίστη καὶ καλλίστη τῶν ἁπασῶν, ἔτι δὲ μολύβδῳ
to-be best and finest of-the all further and with-lead
τε πολλῷ καὶ βαθεῖ ὅλα δι᾽ ὅλων πεπυκασμένα τε καὶ
both much and deep wholly through whole covered both and
ξυνηρεφῆ καὶ κατάστεγα, καὶ μυρίαις ἄλλαις λαμπρότησί
roofed and covered-over and with-countless other splendors
τε καὶ χάρισι καλλυνόμενα καὶ κοσμούμενα· οὐ μόνον
both and graces beautified and adorned not only
δὲ, ἀλλὰ καὶ παράδεισοι περὶ αὐτὰ κατακέχυνται κύκλῳ
and but also gardens around them are-spread in-circle
μέγιστοί τε καὶ κάλλιστοι, διαφόροις τε καὶ παντοίοις
greatest both and finest with-various both and all-kinds
φυτῶν εἴδεσι βρύοντες, καὶ καρποῖς ὡραίοις βρίθοντες καὶ
of-plants kinds teeming and with-fruits seasonable laden and
ὑδάτων ἀφθονίᾳ περιρρεόμενοι πάντοθεν ψυχρῶν τε καὶ
of-waters with-abundance flowed-around on-all-sides cold both and

ποτίμων καὶ διειδῶν, καὶ ἄλσεσι καὶ λειμῶσι καλλίστοις
drinkable and clear and with-groves and meadows finest
ἐμπρέποντες, ἔτι δὲ ὀρνίθων ἀγέλαις ἐδωδίμων καὶ
conspicuous further and of-birds with-flocks edible and
ᾠδικῶν καταβοώμενοί τε καὶ περιλαλούμενοι πάντοθεν,
singing resounding both and chattered-around on-all-sides
καὶ ζῴων ἡμέρων τε καὶ ἀγρίων γένη τρέφοντες,
and of-animals tame both and wild kinds nourishing
καὶ πολλοῖς ἄλλοις καὶ διαφόροις ὡραϊζόμενοί τε καὶ
and with-many other and various made-beautiful both and
κομῶντες καλοῖς, ὅσα κόσμον οἶδε φέρειν καὶ τέρψιν
luxuriant goods whatever ornament know to-bring and delight
ὁμοῦ καὶ ἡδονὴν καὶ ἀπόλαυσιν· οὕτω φιλοτίμως τε καὶ
together and pleasure and enjoyment so lavishly both and
πολυτελῶς ἐξείργαστο ταῦτα τῷ βασιλεῖ.
costly had-been-worked-out these(-things) for-the emperor
Παραχειμάσας οὖν ἐν τούτοις ὁ βασιλεὺς, ἐπειδὴ 10.1
having-wintered then in these(-things) the emperor when
ἔαρ ὑπέφαινεν ἤδη, ὥρμησε μὲν ἐς ἐκστρατείαν, καὶ
spring was-showing already set-out indeed for campaign and
παρεσκευάζετο ἐπὶ τοῦτο. Αἰσθόμενος δὲ τοὺς στρατιώτας
prepared for this having-perceived but the soldiers
ἀγανακτοῦντας καὶ τὴν ἰδίαν αὐλὴν, κεκακωμένους τε
vexed and the own court harmed both
καὶ τεταλαιπωρημένους τὰ μάλιστα ταῖς συχναῖς τε
and worn-out the most by-the frequent both
καὶ μακραῖς ὁδοιπορίαις καὶ ἐκστρατείαις, καὶ ἀεὶ ἐν
and long marches and campaigns and always in
ἀποδημίαις ὄντας ὑπερορίοις καὶ πόνοις, καὶ πάντα
journeys being beyond-the-borders and toils and all
τὰ ἑαυτῶν ἀπολλύντας καὶ σώματα καὶ χρήματα καὶ
the(-things) of-themselves losing both bodies and money and

ἵππους καὶ ὑποζύγια, καὶ πάντα τρόπον φθειρομένους τε
horses and beasts-of-burden and in-every way being-destroyed both
καὶ κακοπαθοῦντας, ἀνέσχε τῆς ὁρμῆς· καὶ αὐτὸς ὁ
and suffering he-held-back from-the impulse and himself the
βασιλεὺς κεκοπωμένος τε καὶ κατατετριμμένος ὅλος καὶ τὸ
emperor wearied both and worn-down wholly both in-the
σῶμα καὶ τὴν γνώμην ὑπό τε τῶν ξυνεχῶν καὶ ἀνενδότων
body and the judgment by both the continuous and unrelenting
λογισμῶν τε καὶ φροντίδων καὶ τῶν ἀτρύτων πόνων
reckonings both and cares and the unwearying toils
καὶ κινδύνων καὶ πειρασμῶν, ἀναπαύλης γοῦν ἐδεῖτο
and dangers and trials of-rest at-any-rate needed
προσκαίρου καὶ θεραπείας. Διὰ τοῦτο μένειν ἐγνώκει
temporary and of-care because-of this to-remain he-resolved
δεῖν καὶ διαναπαῦσαι ἑαυτόν τε καὶ τὴν στρατιὰν τοῦ
to-be-needful and to-rest himself both and the army for-the
ἐνεστῶτος θέρους, ὡς ἂν ἔτι γε τοῦ λοιποῦ νεαρωτέροις
present summer so-that — still at-least for-the future fresher
τε καὶ προθυμοτέροις ἔχοι κεχρῆσθαι πρὸς τὰ λοιπὰ
both and more-eager he-might-be-able to-use(-them) for the rest
τῶν ἔργων. Καὶ δὴ δόξαν οὕτω, τὴν μὲν ἄλλην
of-the works and indeed it-having-seemed-good so the indeed other
στρατιὰν πολυτρόπως δωρησάμενος ἀπέλυσε, τοῖς μὲν
army in-many-ways having-rewarded he-released to-the(-ones) indeed
ἵππους, τοῖς δὲ ἐσθῆτας, τοῖς δὲ χρήματα, τοῖς
horses to-the(-ones) and clothes to-the(-ones) and money to-the(-ones)
δὲ ἄλλο τι διαδιδοὺς, τοὺς δ' ἀπὸ τῆς ἰδίας αὐλῆς, οὓς
and other something distributing the(-ones) and from the own court whom
ἠπίστατο φιλοπόνους τε καὶ φιλοκινδύνους καὶ σπουδαίους
he-knew toil-loving both and danger-loving and earnest
καὶ χρησίμους τοῖς ὅλοις καὶ ἀγαθοὺς ἄνδρας, καὶ τιμαῖς
and useful in-the whole and good men both with-honors

ταῖς πρεπούσαις ἐτίμησε, καὶ ἀρχαῖς καὶ δώροις λαμπροῖς
the fitting honored and with-offices and gifts brilliant
καὶ πολλοῖς ἄλλοις καλοῖς, προάγων καὶ προβιβάζων
and many other goods promoting and advancing
αὐτοὺς ἐπὶ τὰ πρόσω δι' ἀρετήν. Καὶ τούτους μὲν οὕτω
them to the forward(-places) for virtue and these indeed thus
τιμήσας τε καὶ δωρησάμενος πολυτρόπως, ἥπερ ἔφην,
having-honored both and having-rewarded in-many-ways as I-said
ἀπέλυσεν· αὐτὸς δὲ διάγων ἐν Βυζαντίῳ θέρους, τῶν
released himself and spending-time in Byzantium in-summer the
μὲν ὑπὲρ τῆς πόλεως φροντίδων οὐκ ἠμέλει, ξυνήθως τοῦ
indeed for the city cares not neglected customarily of-the
τε ξυνοικισμοῦ αὐτῆς, φημὶ, καὶ τῆς ἄλλης κατασκευῆς
both resettlement of-it I-mean and of-the other equipment
τε καὶ βελτιώσεως ἄγαν ἐπιμελόμενος. Ἐσχόλαζε δὲ καὶ
both and improvement exceedingly taking-care he-had-leisure and also
φιλοσοφίᾳ, ὅση τε Ἀράβων καὶ Περσῶν καὶ Ἑλλήνων
for-philosophy as-much-as both of-Arabs and of-Persians and of-Hellenes
μάλιστα ἐς τὴν Ἀράβων μετενεχθεῖσα, ξυνὼν τε
most into the of-Arabs(-tongue) transferred being-with both
ὁσημέραι τοῖς τούτων ἡγεμόσι καὶ διδασκάλοις (εἶχε δὲ οὐκ
daily the of-these leaders and teachers he-had and not
ὀλίγους περὶ αὑτόν) καὶ ξυζητῶν ἅμα καὶ ξυμφιλοσοφῶν
few about himself and inquiring-with at-once and philosophizing-with
αὐτοῖς καὶ τοῖς τῆς φιλοσοφίας δόγμασι προσανέχων καὶ
them and to-the of-the philosophy doctrines attending and
μάλιστα τοῖς ἀπὸ τοῦ Περιπάτου καὶ τῆς Στοᾶς.
most to-the(-ones) from the Peripatos and the Stoa
Ἐντυχὼν δέ που καὶ τοῖς τοῦ Πτολεμαίου
having-come-upon and somewhere also the — of-Ptolemy
διαγράμμασιν, ἐν οἷς ἐκεῖνος ἐπιστημονικῶς τε καὶ
diagrams in which that(-one) scientifically both and

φιλοσόφως τὴν τοῦ κόσμου περιήγησιν καὶ περίοδον πᾶσαν
philosophically the of-the world description and circuit all
ἐκτίθεται, πρῶτον μὲν ἠβουλήθη κατακεκερματισμένην
sets-out first indeed he-wished cut-up
οὖσαν αὐτὴν ἐν τῇ δέλτῳ καὶ δυσδιάγνωστον, μιᾷ
being it in the tablet and hard-to-discern in-one
ὑφῇ παραδοῦναι ξυνημμένως ἐν ἑνὶ πέπλῳ καὶ πίνακι,
weave to-hand-down joined in one cloth and table
σαφεστέραν τε οὖσαν οὕτω καὶ εὐληπτοτέραν ξυμπεριλαβεῖν
clearer both being so and easier-to-grasp to-comprehend
τε ἅμα τῇ διανοίᾳ καὶ κατασχεῖν καὶ γνῶναι καλῶς·
both at-once with-the mind and to-hold and to-know well
καὶ γὰρ ἀναγκαῖον εἶναί οἱ ἔδοξέ που τὸ μάθημα τοῦτο
and for necessary to-be to-him it-seemed somehow the study this
καὶ σπουδαιότατον. Μετακαλεσάμενος οὖν Γεώργιον τὸν
and most-earnest having-summoned then George the
φιλόσοφον ἀνατίθησιν αὐτῷ τὸν τοῦ πράγματος πόνον ξὺν
philosopher he-entrusts to-him the of-the affair toil with
ἀξιώσει καὶ φιλοτιμίᾳ βασιλικῇ. Καὶ ὃς ἀναδέχεται τοῦτον
dignity and munificence royal and he accepts it
ἀσμένως, ὑπουργῶν προθύμως τῷ βασιλέως σκοπῷ καὶ
gladly serving eagerly the of-emperor aim and
κελεύσματι, καὶ δὴ μετὰ χεῖρας τὸ βιβλίον λαβὼν καὶ τὸ
command and indeed into hands the book having-taken and the
θέρος ὅλον ἐνδιατρίψας τε καὶ σχολάσας αὐτῷ καὶ ἱκανῶς
summer whole having-spent both and having-had-leisure for-it and sufficiently
ἐκμελετήσας τε καὶ τὴν τούτου γνῶσιν ἀναλεξάμενος,
having-studied both and the of-it knowledge having-gathered
διέγραψεν ἄριστα καὶ ἐπιστημονικώτατα πᾶσαν τὴν τῆς
drew best and most-scientifically all the of-the
οἰκουμένης περίοδον ἐν ἑνὶ πέπλῳ καὶ πίνακι γῆς καὶ
inhabited-world circuit in one cloth and table of-land and

θαλάσσης ὁμοῦ, ποταμούς τέ φημι καὶ λίμνας καὶ νήσους
sea together rivers both I-mean and lakes and islands
καὶ ὄρη καὶ πόλεις καὶ πάντα ἁπλῶς παραδοὺς ἐν
and mountains and cities and all simply having-handed-down in
τούτῳ καὶ κανόνας καὶ μέτρα καὶ ἀποστάσεις καὶ τἆλλα
this and rules and measures and distances and the-rest
πάντα εἰδέναι καλῶς, καὶ παραδίδωσι βασιλεῖ σπούδασμά τε
all to-know well and hands(-it)-over to-emperor study both
καὶ μάθημα πάνυ ἀναγκαῖον καὶ χρήσιμον τοῖς σπουδαίοις
and learning very necessary and useful for-the earnest
τε ἅμα καὶ φιλοπόνοις καὶ φιλοκάλοις. Ἐκτίθεται δὲ καὶ
both at-once and toil-loving and beauty-loving he-sets-out and also
τὰ ὀνόματα τῶν χωρῶν καὶ τόπων καὶ πόλεων ἀραβικῶς
the names of-the lands and places and cities in-Arabic
ἐν τῷ πίνακι, χρησάμενος ἑρμηνεῖ τῷ σφετέρῳ υἱεῖ, καλῶς
in the table having-used as-interpreter the own son well
ἠσκημένῳ τὴν Ἀράβων τε καὶ Ἑλλήνων. Ἡσθεὶς οὖν
trained-in the of-Arabs both and of-Hellenes(-tongue) pleased then
πάνυ τῷ ἔργῳ τούτῳ ὁ βασιλεὺς, καὶ τὴν σοφίαν τε καὶ
very with-the work this the emperor and the wisdom both and
περίνοιαν τοῦ Πτολεμαίου θαυμάσας, ἀλλὰ δὴ καὶ τοῦ
ingenuity — of-Ptolemy having-admired but indeed also of-the(-one)
ἐκθεμένου τοῦτο καλῶς, δωρεῖται τοῦτον πολυτρόπως καὶ
having-set-out this well rewards him in-many-ways and
φιλοτίμως, κελεύει δὲ καὶ πᾶσαν τὴν βίβλον ὑπ᾽ αὐτῶν
lavishly orders and also all the book by them
ἀραβικῶς ἐκδοθῆναι, μισθοὺς μεγάλους ὑπὲρ τούτου καὶ δῶρα
in-Arabic to-be-published pays great for this and gifts
ἐπαγγειλάμενος. Καὶ ταῦτα μὲν οὕτως. Ἐν τούτοις γε
having-promised and these(-things) indeed thus in these(-things) at-least
μὴν καὶ τοῖς τοιούτοις ἀσχολουμένῳ τε καὶ διατρίβοντι τῷ
indeed and the such(-things) being-occupied both and spending-time for-the

βασιλεῖ διαγέγονε τὸ θέρος ὅλον καὶ τὸ φθινόπωρον· καὶ
emperor passed the summer whole and the autumn and
τούτων παρῳχηκότων τρίτον καὶ ἑβδομηκοστὸν ἔτος πρὸς
these having-passed third and seventieth year besides
τοῖς ἐννακοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο,
the nine-hundred both and six-thousand in-the total was-being-completed
πέμπτον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.
fifth and and tenth of-the rule for-the emperor

11.1 Ἐπεὶ δὲ τὸ παρῳχηκὸς ἔτος ὅλον διανεπαύσατο καλῶς
when and the past year whole had-rested well
ὅ τε βασιλεὺς καὶ ἡ στρατιὰ, παρεσκευάζετο χειμῶνος
the both emperor and the army be-prepared in-winter
ἅμα ἦρι ἐς τὴν Ἰλλυριῶν ἐσβαλεῖν. Ἰλλυριοὶ γὰρ,
at-once with-spring into the of-Illyrians(-land) to-invade Illyrians for
ἧπερ καὶ πρόσθεν ἔφαμεν, πρόσοικοι ὄντες τῷ Ἰονίῳ καὶ
as also before we-said dwellers-by being — to-Ionian and
ὄρη μεγάλα ἐκ παλαιοῦ οἰκοῦντες καὶ ὑπερύψηλα, καὶ
mountains great from old inhabiting and very-high and
φρούρια ἔχοντες ἐρυμνὰ καὶ δυσάλωτα ἔν τε τῇ μεσογείᾳ
fortresses having strong and hard-to-take in both the inland
καὶ παραλίᾳ καὶ τόπους δυσβάτους καὶ ἀποκρήμνους καὶ
and coast and places impassable and precipitous and
πανταχόθεν ὠχυρωμένοι τε καὶ ἠσφαλισμένοι, καὶ τούτοις
on-all-sides fortified both and secured and in-these
θαρροῦντες, αὐτόνομοί τε εἶναι ἐβούλοντο καὶ ἐλεύθεροι
trusting self-governing both to-be wished and free
πάντη, καὶ οὔτε δασμὸν ἐτήσιον καταβαλεῖν ἤθελον καὶ
wholly and neither tribute yearly to-pay wished also
αὐτοὶ, ὥσπερ οἱ ἄλλοι ὅμοροι, οὔτε στρατιώτας ἐν ταῖς
themselves as the other neighbors nor soldiers in the
ἐκστρατείαις παρέχειν οὔτε τῷ πατρὶ τοῦ βασιλέως οὔτ'
campaigns to-provide neither to-the father of-the emperor nor

αὐτῷ τῷ βασιλεῖ, οὐθ' ὅλως κατακούειν αὐτοῦ· καὶ οὐ
very to-the emperor nor at-all to-obey him and not
τοῦτο μόνον, ἀλλ' ὅτι καὶ πολλάκις ἐκθέοντες τῆς αὐτῶν
this only but that also often running-out from-the their(-land)
μετὰ τοῦ σφῶν ἡγεμόνος ἀνέδην οὕτω κατέτρεχον
with the their leader without-restraint so overran
τὴν ὅμορόν σφισι τοῦ βασιλέως χώραν καὶ ἐληίζοντο.
the bordering on-them of-the emperor land and plundered(-it)
Ἐστράτευσαν μὲν οὖν ἐπὶ τούτους καὶ πρόσθεν ὅ τε
campaigned indeed then against these also before the both
βασιλεὺς καὶ ὁ τούτου πατὴρ πρὸ αὐτοῦ, καὶ κατέδραμον
emperor and the his father before him and overran
τὴν αὐτῶν πᾶσαν καὶ ἐληίσαντο καὶ διέφθειραν, καὶ
the their(-land) all and plundered and destroyed and
φρούρια ἐξεῖλον καὶ βοσκήματα πολλὰ καὶ ἀνδράποδα καὶ
fortresses took-out and cattle many and captives and
λείαν ὅτι πλείστην ἀπήγαγον· οἱ δὲ τότε μὲν καὶ παρὰ
booty as most led-away they and then indeed also at
τὴν ἐσβολὴν αὐτὴν τὴν αὑτῶν δῃουμένην καὶ πορθουμένην
the invasion itself the their(-land) being-ravaged and sacked
ὁρῶντες εἶκόν τε καὶ ἐσπένδοντο πρὸς καιρὸν καὶ μετ'
seeing yielded both and made-truce for a-time and after
ὀλίγα πάλιν ἀναισχυντοῦντες ἐλῄστευον τὴν βασιλέως καὶ
a-little again being-shameless plundered the emperor's(-land) and
ἐκακούργουν, καὶ τοῦτο ἐποίουν ἔχοντες τὰ ὄρη καὶ τὸ
did-mischief and this they-did having the mountains and the
δυσπρόσοδον τῆς χώρας καταφυγὴν καὶ προκάλυμμα·
hard-to-approach(-nature) of-the land as-refuge and screen
μιᾶς γὰρ οὔσης ἢ δύο παρόδων διὰ τῶν ὀρῶν ἐς αὐτὴν,
one for being or two passes through the mountains into it
ἐφύλαττόν τε ταύτας φυλακαῖς ἰσχυραῖς, καὶ εἶχον τὴν
they-guarded both these with-guards strong and held the

αὐτῶν ἄβατον πάντη τοῖς πολεμίοις καὶ κακῶν ἀπαθῆ, εἰ
their(-land) impassable wholly to-the enemies and of-evils unharmed if
μή που μεγάλη τις δύναμις ἐπελθοῦσα τῶν ὀρῶν τε καὶ
not perhaps great some force having-come the mountains both and
τῶν παρόδων κρατήσειε βίᾳ, καὶ θύραν ἀνοίξειε τῇ χώρᾳ
the passes should-master by-force and door should-open to-the land
τελείως· ὅπερ δὴ καὶ ὁ βασιλεὺς ἐγνώκει ποιῆσαι, καὶ
completely which indeed also the emperor had-resolved to-do and
ἐπεποιήκει καλῶς. Παρασκευασάμενος οὖν χειμῶνος, ἧπερ
had-done well having-prepared then in-winter as
ἔφην, ὡς ἔδει, ἅμα τῷ ἦρι ἔξεισι κατ᾽ αὐτῶν μεγάλῃ
I-said as was-needed at-once with-the spring goes-out against them with-great
δυνάμει καὶ στρατιᾷ ἱππικῇ τε καὶ πεζικῇ, ξυνεπαγόμενος
force and army cavalry both and infantry bringing-along
ἅμα οἱ καὶ μηχανὰς καὶ ὅπλα καὶ παρασκευὰς ἐς
at-once with-him also engines and arms and preparations for
οἰκοδομὴν καὶ οἰκοδόμους καὶ τέκτονας καὶ ἐργαλεῖα
building and builders and carpenters and tools
τεκτονικὰ καὶ οἰκοδομικὰ καὶ σίδηρον πολὺν καὶ χαλκὸν
carpentry and building and iron much and bronze
καὶ ὅσα τοιαῦτα ὡς ἐς τειχισμὸν καὶ οἰκοδομὴν φρουρίου.
and whatever such as for walling and building of-fortress
Ἄρας οὖν ἐκ τῆς Ἀδριανοῦ παντὶ τῷ στρατῷ ἱππικῷ
having-set-out then from the of-Hadrian(-city) with-all the army cavalry
τε καὶ πεζικῷ ἤει διὰ τῆς αὑτοῦ σπουδῇ· διελάσας δὲ
both and infantry went through the his(-land) with-zeal having-driven-through and
ταύτην ὅτι τάχιστα καὶ γενόμενος ἐν τοῖς ὁρίοις Ἰλλυριῶν,
it as quickly-as-possible and having-come in the borders of-Illyrians
στρατοπεδεύεται αὐτοῦ τῇ προτεραίᾳ, καὶ τῇ ὑστεραίᾳ
encamps there on-the former(-day) and on-the next(-day)
ἀναλαβὼν τούς τε ψιλοὺς καὶ τοξότας καὶ σφενδονήτας
having-taken the both light-armed and archers and slingers

καὶ λογχοφόρους καὶ ὑπασπιστὰς, προσβάλλει ταῖς παρόδοις
and spear-bearers and shield-bearers attacks the passes
φυλασσομέναις ὑπὸ τῶν Ἰλλυριῶν ἰσχυρῶς· καὶ μάχης
guarded by the Illyrians strongly and battle
μεγάλης ξυσταδὸν γενομένης καὶ ὠθισμοῦ καὶ ἀγῶνος καὶ
great hand-to-hand having-arisen and pushing and contest and
βίας πολλῆς, εὐρώστως ἀπαντησάντων τε καὶ μαχομένων
force much stoutly having-met both and fighting
τῶν Ἰλλυριῶν, τρέπεται τούτους καὶ κρατεῖ τῶν παρόδων
the Illyrians routs them and masters the passes
βίᾳ, καὶ καταδιώξας φόνον πολὺν τούτων ἐργάζεται. Μετὰ
by-force and having-pursued slaughter much of-them works after
δὲ τοῦτο φυλακὰς ἐγκαταστήσας ἰσχυρὰς ταῖς παρόδοις,
and this guards having-established strong at-the passes
τοῦ μὴ βλάπτεσθαι τούς τε ἐσιόντας καὶ ἐξιόντας ὑπὸ
so-that not to-be-harmed the(-ones) both entering and going-out by
τῶν λῃστευόντων Ἰλλυριῶν, κελεύει τούς τε ὑλοτόμους καὶ
the plundering Illyrians orders the both woodcutters and
μέρος τοῦ πεζοῦ ἐσελθόντας ὑλοτομεῖν τε καὶ ἐκκαθαίρειν
part of-the infantry having-entered to-cut-wood both and to-clear
τά τε λοχμώδη καὶ λάσια καὶ δυσδιεξίτητα τῶν
the both thicket-covered and shaggy and hard-to-pass-through(-parts) of-the
χωρίων, καὶ τῶν ὁδῶν τὰς σκληρὰς καὶ τραχείας καὶ ὅλως
places and of-the roads the rough and harsh and wholly
ἀβάτους ἐξομαλίζειν τε καὶ καταλεαίνειν καὶ εὐρείας καὶ
impassable to-level both and to-smooth and broad and
λείας ποιεῖν τῇ τε στρατιᾷ πάσῃ ἱππικῇ τε καὶ πεζικῇ καὶ
smooth to-make for-the both army all cavalry both and infantry and
τοῖς ἀχθοφόροις τῶν ζώων καὶ ταῖς ἁμάξαις καὶ τοῖς ἄλλοις
the burden-bearing of-the animals and the wagons and the other
σκευαγωγοῖς. Αὐτὸς δὲ πάσῃ τῇ στρατιᾷ ἐσελάσας, πρῶτον
baggage-carriers himself and with-all the army having-driven-in first

μὲν τὴν κάτω χώραν αὐτῶν, τῶν πεδίων τε καὶ ὅση
indeed the lower land their of-the plains both and as-much-as
ἱππάσιμος ἦν, κατατρέχει καὶ ληίζεται πᾶσαν, μετὰ δὲ
fit-for-riding was overruns and plunders all after and
τοῦτο στρατοπεδευόμενος κατὰ σταθμοὺς καὶ προσκαθήμενος
this encamping by stages and sitting-before(-it)
ἐδήου ταύτην ἐμπιπρῶν τοὺς καρποὺς καὶ νεμόμενος καὶ
laid-waste it burning the crops and grazing and
διαφθείρων καὶ ἀφανίζων. Ἰλλυριοὶ δὲ ἀναγαγόντες τοὺς
destroying and blotting-out Illyrians and having-taken-up the
σφῶν παῖδας καὶ γυναῖκας καὶ κτήνη καὶ πᾶσαν ἄλλην
their children and wives and beasts and all other
ἀποσκευὴν ἐπὶ τὰ ὑψηλὰ καὶ δυσάντη καὶ δυσπρόσοδα
baggage onto the high and steep and hard-to-approach(-parts)
τῶν ὀρῶν, καὶ καταλαβόντες αὐτοὶ ξὺν ὅπλοις τάς τε
of-the mountains and having-seized themselves with arms the both
δυσχωρίας καὶ τοὺς ἰσχυροὺς τῶν τόπων καὶ τὰς παρόδους,
rough-grounds and the strong of-the places and the passes
ἐκάθηντο, ἤν τις αὐτοῖς ἐπίῃ, ἀμυνούμενοι. Βασιλεὺς δὲ,
sat if anyone them attack going-to-defend-themselves emperor and
ἐπεὶ πᾶσαν τὴν κάτω χώραν αὐτῶν ἐδήωσε καὶ ἐπόρθησε,
when all the lower land their he-laid-waste and sacked
παρασκευασάμενός τε καὶ ἐκτάξας καλῶς πᾶσαν τὴν
having-prepared both and having-drawn-up well all the
στρατιὰν ἐχώρει ἐπὶ τὰ ὄρη καὶ τὰς δυσχωρίας καὶ
army went to the mountains and the rough-grounds and
τοὺς ἰσχυροὺς τῶν βουνῶν ἐπί τε Ἰλλυριοὺς καὶ παῖδας
the strong of-the hills against both Illyrians and children
καὶ γυναῖκας σφῶν καὶ τὴν ἄλλην ἀποσκευήν. Προέταξε
and wives their and the other baggage he-posted
δὲ, πρόσθεν μὲν, τούς τε τοξότας καὶ τουφακοφόρους
and in-front indeed the both archers and musketeers

καὶ σφενδονήτας βάλλειν τε καὶ τοξεύειν καὶ σφενδονᾶν
and slingers to-shoot both and to-draw-bows and to-sling
ἐς τοὺς Ἰλλυριοὺς καὶ ἀνείργειν αὐτοὺς πορρωτάτω καὶ
at the Illyrians and to-bar them farthest and
ἀναχαιτίζειν ἐς τὸ ἄνω βαλλομένους· μετὰ δὲ τούτους,
to-rein-back to the above being-shot after and these
τούς τε ψιλοὺς καὶ λογχοφόρους καὶ ὑπασπιστὰς ἔταξεν
the both light-armed and spear-bearers and shield-bearers he-posted
ἀνιέναι, ἑπομένως δὲ τούτοις τὸ ὁπλιτικὸν ἅπαν.
to-go-up following and these the hoplite(-force) all
Καὶ ἀνῄεσαν σχολῇ καὶ βάδην μέχρι τινὸς, ὠθοῦντες κατὰ
and went-up slowly and at-a-walk up-to a-point pushing by
μικρὸν τοὺς Ἰλλυριοὺς ἐς τὸ ἄνω· ἔπειτα ἀλαλάξαντες
little the Illyrians to the above then having-raised-the-war-cry
μέγα οἵ τε ψιλοὶ καὶ οἱ ὁπλῖται καὶ λογχοφόροι ἐχώρουν
greatly the both light-armed and the hoplites and spear-bearers went
δρόμῳ ἐπὶ τοὺς Ἰλλυριοὺς, καὶ τρεψάμενοι ἐδίωκον ἀνὰ
running against the Illyrians and having-routed(-them) pursued with
κράτος καὶ καταλαμβάνοντες ἔκτεινον, τοὺς δὲ καὶ ζῶντας
all-speed and overtaking killed the(-ones) and also alive
ἐζώγρουν· ἔνιοι δὲ αὐτῶν καὶ βιαζόμενοι ὑπὸ τῶν ὁπλιτῶν
took some and of-them also forced by the hoplites
ἐρρίπτουν σφᾶς αὐτοὺς κατὰ τῶν κρημνῶν καὶ πετρῶν, καὶ
threw them selves down the precipices and rocks and
διεφθείροντο· οἱ δὲ ὁπλῖται καὶ ψιλοὶ καὶ ἡ στρατιὰ πᾶσα
were-destroyed the and hoplites and light-armed and the army all
χεθεῖσα ἀνὰ τὰ ὄρη καὶ τὰς δυσχωρίας τὰς ἐκεῖσε καὶ
poured over the mountains and the rough-grounds the(-ones) there and
τὰς χαράδρας ἐζώγρουν καὶ ἠνδραποδίζοντο τούς τε παῖδας
the ravines took-alive and enslaved the both children
καὶ γυναῖκας τῶν Ἰλλυριῶν καὶ πάντα τὰ προσόντα
and wives of-the Illyrians and all the(-things) belonging

αὐτοῖς διήρπαζον· οὐ μόνον δὲ, ἀλλὰ καὶ βοσκημάτων καὶ
to-them plundered not only and but also of-cattle and
ζῴων ἀγέλας πολλὰς ἤλασαν, καταδραμόντες δὲ πάντα τὰ
of-animals herds many drove having-overrun and all the
ὄρη καλῶς καὶ διερευνησάμενοι καὶ λείαν ὅτι πλείστην
mountains well and having-searched and booty as most
ἐκεῖθεν ἀπαγαγόντες ἀνδραπόδων τε καὶ βοσκημάτων καὶ
thence having-led-away of-captives both and cattle and
τῶν ἄλλων, κατήγαγον πάντα ἐς τὸ στρατόπεδον. Ἀπέθανον
the others brought-down all to the camp died
δὲ πλῆθος πολὺ τῶν Ἰλλυριῶν, οἱ μὲν ἐν τῷ πολέμῳ,
and multitude much of-the Illyrians the(-ones) indeed in the war
οἱ δὲ καὶ ζῶντες ληφθέντες, κελεύσαντος βασιλέως·
the(-ones) and also alive taken having-ordered emperor
ἐλήφθησαν δὲ καὶ παῖδες καὶ γυναῖκες καὶ ἄνδρες ἐν ἐκείνοις
were-taken and also children and wives and men in those
τοῖς ὄρεσι ὡσεὶ δισμύριοι. Οἱ δὲ λοιποὶ τῶν Ἰλλυριῶν
the mountains about twenty-thousand the and rest of-the Illyrians
οἱ μὲν ἦσαν ἐν φρουρίοις ἐρυμνοῖς, οἱ δὲ ἐν ἄλλοις
the(-ones) indeed were in fortresses strong the(-ones) and in other
ὄρεσι πεφευγότες μετὰ τοῦ σφῶν ἡγεμόνος Ἀλεξάνδρου.
mountains having-fled with the their leader Alexander

12.1 Ἦν δέ τι καὶ φρούριον ἐκεῖσε τοῖς Ἰλλυριοῖς ἀπόμαχον
there-was and some also fortress there to-the Illyrians unassailable
πάντη καὶ ἰσχυρότατον Κροῦες ὀνομαζόμενον, ὅπερ δὴ
wholly and strongest Krujë named which indeed
καὶ ὡς ἀκρόπολίς τις ἦν τῆς ὅλης χώρας καὶ φυλακτήριον.
also as acropolis some was of-the whole land and guard-post
Τοῦτο πολυτρόπως πρώην πειρασας ὁ τοῦ βασιλέως
this in-many-ways formerly having-tried the of-the emperor
πατὴρ καὶ ὅπλοις καὶ μηχαναῖς πετροβόλοις καὶ πολιορκίᾳ
father both with-arms and engines stone-throwing and siege

μακρᾷ, οὐκ ἠδυνήθη (δ᾽ οὖν) ὅμως ἑλεῖν· οὕτως ἀπόμαχον
long not was-able but then nevertheless to-take so unassailable
ἦν. Ἐν τούτῳ τοίνυν παραγενόμενος ὁ βασιλεὺς καὶ
it-was in this therefore having-arrived the emperor and
θεασάμενος αὐτοῦ τό τε ἐρυμνὸν καὶ δυσάλωτον καὶ
having-viewed its the both strength and hard-to-take(-nature) and
σφόδρα ἀπόμαχον, οὐκ ἐγνώκει δεῖν ὅλως ἐπιχειρεῖν
exceedingly unassailable not resolved to-be-needful at-all to-attempt
τῷ τοιούτῳ καὶ πονεῖν ἀνήνυτα, οὐδὲ προσταλαιπωρεῖν καὶ
the such(-place) and to-toil endless(-things) nor to-suffer-further and
κατατρίβειν τὴν στρατιὰν περικαθήμενον καὶ πολιορκοῦντα
to-wear-out the army sitting-around and besieging
χρονίαν πολιορκίαν, καὶ σώματα καὶ χρήματα ἀπολλύναι
long siege and bodies and money to-lose
μάτην, ἐνὸν ἄλλῳ τῳ τρόπῳ τοῦ τε ἄστεος καὶ τῆς
in-vain it-being-possible by-other some way of-the both town and the
χώρας ἀπόνως τε καὶ ἀκινδύνως κρατεῖν. Διὰ τοῦτο
land without-toil both and without-danger to-master because-of this
ἐπιτειχισμὸν αὐτοῖς ἐγνώκει δεῖν κατασκευάσαι, καὶ
fortification-against them be-resolved to-be-needful to-build and
φρούριον ἐχυρὸν ἐνταῦθα τειχίσαι ἐν μέσῃ τῇ χώρᾳ, καὶ
fortress strong there to-wall in middle the land and
στρατιὰν ἱκανὴν ἐν αὐτῷ καταλιπεῖν, ἀεὶ κατατρέχουσαν
army sufficient in it to-leave always overrunning
καὶ ληιζομένην καὶ μηδαμοῦ ἐῶσαν τοὺς Ἰλλυριοὺς
and plundering and nowhere allowing the Illyrians
ἐξερχομένους τοῦ ἄστεος ἢ τῶν ὀρῶν κατερχομένους
going-out of-the town or from-the mountains coming-down
ἐργάζεσθαι ἢ ποιμαίνειν ἢ νέμειν ἢ ἄλλο τι ποιεῖν, ἀλλ᾽
to-work or to-herd or to-graze or other anything to-do but
ἀεὶ κατακεκλεισμένους τε καὶ κακοπαθοῦντας ἀναγκασθῆναί
always shut-in both and suffering to-be-compelled

ποτε καὶ ξυμβῆναι τῷ βασιλεῖ. Διερχόμενος οὖν τὴν
sometime also to-come-to-terms with-the emperor going-through then the
χώραν ἐπιζητήσει χωρίου ἐπικαίρου ἐς τειχισμὸν, εὗρε
land in-search of-place strategic for walling he-found
παλαιᾶς πόλεως ἴχνη καὶ θεμελίους ἐν ἐπικαίρῳ τε τῆς
of-ancient city traces and foundations in vantage both of-the
χώρας κειμένης καὶ ἀρίστης τε καὶ καλλίστης φαινομένης
land lying and best both and finest appearing
εἶναι τὸ παλαιόν· ταύτην ἔγνω τειχίζειν· καὶ ἀρξάμενος
to-be the of-old this he-resolved to-wall and having-begun
ἀρχομένου θέρους χειρὶ πολλῇ καὶ σπουδῇ καὶ δαπάνῃ
beginning summer with-hand much and zeal and expense
φιλοτιμίᾳ τε καὶ ἐπιστασίᾳ βασιλικῇ (καὶ γὰρ παρῆν τε
lavishness both and oversight royal and for was-present both
αὐτὸς πανταχοῦ τῷ ἔργῳ ἕκαστα ἐξηγούμενός τε καὶ
himself everywhere at-the work each(-thing) explaining both and
ἐπισπέρχων πάντας, τοὺς μὲν λόγοις, τοὺς δὲ καὶ
urging-on all the(-ones) indeed by-words the(-ones) and also
χρήμασι (καὶ) προθυμοτέρους ἐς τοῦτο ποιῶν), πρὶν τὸ
by-money and more-eager for this making before the
θέρος ὅλον ἐξήκειν τειχίζει τὸ φρούριον, ἔργον λόγου καὶ
summer whole to-end walls the fortress work of-account and
θαύματος ἄξιον, καὶ ξυνοικίζει τοῦτο καλῶς, οἰκήτορας
wonder worthy and settles it well inhabitants
ξυναγαγὼν πλείστους ὅσους ἀπὸ τῶν πέριξ αὐτοῦ χωρῶν
having-gathered most as-many-as from the around it lands
καὶ τόπων καὶ πόλεων. Ἐσάγει δὲ καὶ πολλὴν ἀφθονίαν
and places and cities he-brings-in and also much abundance
τῶν ἀναγκαίων καὶ ἐς τροφὴν ἐπιτηδείων καὶ θεραπείαν
of-the necessities and for nourishment suitable(-things) and care
αὐτῶν καὶ πᾶσαν ἄλλην αὐτάρκειάν τε καὶ χρείαν δαψιλῶς
of-them and all other sufficiency both and need lavishly

ἑτοιμασάμενος· ἔτι δὲ καὶ ὅπλα πολλὰ ἐντίθησι καὶ
having-prepared further and also arms many puts-in and
μηχανὰς πετροβόλους καὶ ἀφετήρια καὶ πλείστην ἄλλην
engines stone-throwing and launchers and very-much other
οἰκονομίαν τε καὶ παρασκευὴν τῶν ἐς τὸν πόλεμον,
management both and preparation of-the(-things) for the war
καὶ ἐπισκευάζει τοῦτο διὰ πάντων καλῶς τε καὶ ὥσπερ
and equips it through all well both and as
ἂν εἰ οὐ τότε πρῶτον, ἀλλὰ πολλοῖς ἔτεσι πρότερον
— if not then first but many years before
οἰκούμενον ἦν, καὶ πάντων τῶν ἐν χρείᾳ καὶ ἀναγκαίων
inhabited it-were and of-all the(-things) in need and necessary
ηὐμοιρήκει πλουσίως. Καταλείπει δὲ καὶ φρουρὰν ἐς αὐτὸ
it-had-had-a-share richly he-leaves and also garrison in it
ἱκανὴν ἄνδρας τετρακοσίους τῶν ἀπὸ τῆς ἰδίας αὐλῆς
sufficient men four-hundred of-the(-ones) from the own court
τοὺς μαχιμωτάτους τε καὶ εὐρωστοτάτους, σαπράπην τε
the most-warlike both and stoutest satrap both
τῇ χώρᾳ καὶ στρατηγὸν μετὰ στρατιᾶς ἱκανῆς ἄνδρα
for-the land and general with army sufficient man
τὸν ἄριστον τῶν παρ᾽ αὐτῷ καὶ πάνυ στρατηγικὸν,
the best of-the(-ones) with him and very skilled-in-generalship
ἵνα κατατρέχῃ καὶ πορθῇ πᾶσαν τὴν Ἰλλυριῶν ξυνεχῶς
so-that he-might-overrun and sack all the of-Illyrians(-land) continuously
τε καὶ ἀδιακόπως, καὶ τὸ ἄστυ τοῦ Κροῦες πολιορκῇ.
both and unceasingly and the town — of-Krujë might-besiege
Πράξας δὲ ταῦτα ὁ βασιλεὺς καὶ λείαν ἐλάσας ὅτι
having-done and these(-things) the emperor and booty having-driven as
πολλὴν αὐτὸς ἀνδραπόδων τε καὶ βοσκημάτων, καὶ τῇ
much himself of-captives both and cattle and to-the
στρατιᾷ διαδοὺς, ἐπάνεισι φθινοπώρου ἐς τὸ Βυζάντιον
army having-distributed returns in-autumn to — Byzantium

καὶ τέταρτον δὴ καὶ ἑβδομηκοστὸν ἔτος πρὸς τοῖς
and fourth indeed and seventieth year besides the
ἐννακοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο,
nine-hundred both and six-thousand in-the total was-being-completed
ἕκτον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.
sixth and and tenth of-the rule for-the emperor

13.1 Τοῦ αὐτοῦ φθινοπώρου ἀρχομένου ἤδη καὶ Ἐνετοὶ
of-the same autumn beginning already also Venetians
ἐστράτευσαν ἐπὶ Πάτρας τῆς Ἀχαΐας ναυσί τε
campaigned against Patras — of-Achaea with-ships both
τεσσαράκοντα καὶ δισχιλίοις ὁπλίταις, καὶ ἀποβάντες
forty and two-thousand hoplites and having-disembarked
ἐπολιόρκουν τὴν πόλιν, κύκλῳ περιλαβόντες αὐτὴν τῷ
besieged the city in-circle having-surrounded it with-the
στρατῷ καὶ μηχανὰς ἐπιστήσαντες πετροβόλους. Εἶχον δὲ
army and engines having-set-up stone-throwing they-had and
καί τινας τῶν Πελοποννησίων ξυμμαχοῦντας, οἵτινες πρὸ
also some of-the Peloponnesians fighting-as-allies who before
μικροῦ τοῦ βασιλέως ἀποστάντες προσέθεντο αὐτοῖς.
little from-the emperor having-revolted joined them
Ἐπολιόρκουν οὖν ἐπὶ πολλαῖς ἡμέραις περικαθήμενοι αὐτὴν
they-besieged then for many days sitting-around it
καὶ τὸ τεῖχος καταρριπτοῦντες ταῖς μηχαναῖς. Ἀμάρης δὲ
and the wall hurling-down with-the engines Omar and
ὁ Πελοποννήσου σατράπης στρατιὰν οὐ πολλὴν ἔχων μεθ'
the of-Peloponnese satrap army not large having with
ἑαυτοῦ, παρετήρει αὐτοὺς ἔξωθεν λοχῶν τε καὶ ἐνεδρεύων,
himself watched them from-outside lying-in-wait both and ambushing
εἴ πως καιροῦ λαβόμενος ἀπροσδοκήτοις ἐπίθηται
if somehow time having-seized on-unexpecting(-men) he-might-attack
αὐτοῖς. Εἶχε δὲ καὶ σκοποὺς ἀπὸ τοῦ Βοὸς ὄρους πάντα
them he-had and also scouts from the Ox mountain all

καταθεωμένους τὰ δρώμενα ἐν τῷ στρατοπέδῳ καὶ
viewing the(-things) being-done in the camp and
ἀγγέλλοντας αὐτῷ. Φυλάξας οὖν καιρὸν αἴφνης ἐπιτίθεται
reporting to-him having-watched-for then time suddenly attacks
αὐτοῖς, καὶ καταπλήξας τῷ ἀθρόῳ τῆς ἐπιθέσεως
them and having-terrified(-them) by-the suddenness of-the attack
τρέπεται καὶ καταδιώκει μέχρι θαλάσσης σφᾶς, κτείνων τε
routs and pursues as-far-as sea them killing both
καὶ ζωγρῶν ἀνοικτὶ, ἕως ἐς τὰς ναῦς καὶ τὴν θάλασσαν
and taking-alive pitilessly until into the ships and the sea
αὐτὴν ἀτάκτως τε καὶ ξὺν οὐδενὶ κόσμῳ ἐλαυνομένους, ἐπὶ
itself in-disorder both and with no order driven on
κεφαλὴν ὠσθέντας, ἐνέβαλεν. Ἀπέθανον δὲ, ὡς ἐλέγετο, περὶ
head pushed he-threw died and as was-said about
ἑξακοσίους που μάλιστα, ἐλήφθησαν δὲ καὶ ζῶντες ὀλίγῳ
six-hundred about most were-taken and also alive by-little
πλείους τῶν ἑκατὸν, οὐκ ὀλίγοι δὲ αὐτῶν καὶ ἀπεπνίγησαν·
more than-the hundred not few and of-them also were-drowned
βιαζόμενοι γὰρ ὑπὸ τῶν ὁπλιτῶν καὶ ἐλαυνόμενοι πανταχόθεν
forced for by the hoplites and driven from-all-sides
ξὺν τοῖς ὅπλοις ἐπέβαινον τῇ θαλάσσῃ, ὡς ἐς τὰς ναῦς
with the arms they-stepped-into the sea as to the ships
διανηξόμενοι, καὶ βαρυνόμενοι τοῖς ὅπλοις κατεποντίζοντο.
going-to-swim-across and weighed-down by-the arms were-sunk
Ἀμάρης δὲ σκυλεύσας τούς τε νεκροὺς καὶ τὸ στρατόπεδον
Omar and having-stripped the both dead and the camp
ἅπαν, χρήματά τε πολλὰ ἔλαβεν αὐτὸς καὶ ἡ στρατιὰ,
all money both much took himself and the army
καὶ ὅπλα καὶ ἔπιπλα καὶ πᾶσαν ἄλλην ἀποσκευήν.
and arms and furnishings and all other baggage
Ἐπισκευάσας δὲ τὴν πόλιν οἷς εἶχε καλῶς καὶ τοὺς
having-equipped and the city with-what he-had well and the

ζωγρηθέντας ἄνδρας καὶ τὴν λείαν λαβὼν ἀνεχώρησεν
taken-alive men and the booty having-taken withdrew
ἐς Κόρινθον· καὶ μετὰ τοῦτο ἔχων τήν τε λείαν καὶ τοὺς
to Corinth and after this having the both booty and the
αἰχμαλώτους, ἦκεν ἐς τὸ Βυζάντιον ὡς βασιλέα. Ὁ δὲ
captives came to — Byzantium to emperor he and
τὸν μὲν φιλοφρόνως τε ἐδέξατο καὶ ἐδωρήσατο μεγάλως
the(-one) indeed kindly both received and rewarded greatly
καὶ ἐτίμησε τὰ εἰκότα, τοὺς δὲ ἄνδρας ἀπέκτεινεν.
and honored(-him) the fitting(-things) the and men killed

14.1 Ἐν δὲ ταῖς αὐταῖς ἡμέραις καὶ σέλας ὤφθη ἐν οὐρανῷ,
in and the same days also blaze was-seen in heaven
θαυμαστόν τι καὶ καινότατον θέαμα· περὶ γὰρ πρώτην
marvelous some and newest sight about for first
ὥραν που τῆς νυκτὸς, ἀσελήνου ταύτης γε οὔσης,
hour somewhere of-the night moonless this at-least being
αἴφνης ἔλαμψεν ἀπό τε βορρᾶ καὶ τῶν προσαρκτικῶν
suddenly shone from both north and the northern
μερῶν φῶς μέγα καὶ πυραυγὲς, ὡς ἀπὸ ἀστέρος τινὸς
parts light great and fire-bright as from star some
λαβὸν τὴν ἀρχὴν, καὶ τὸ πᾶν περιήστραψε καὶ κατεφώτισε
having-taken the beginning and the all flashed-around and lit-up
δίκην ἡλίου· εἶτα ἐκεῖθεν χυθὲν ὥρμησεν ὡς πρὸς
like sun then thence having-poured rushed as toward
μεσημβρίαν δρόμον ἐγκάρσιον, οἷά τις στῦλος πυρώδης,
south course transverse like some pillar fiery
ὅλον δι' ὅλου μένον τε καὶ φαινόμενον ἀμείωτον,
wholly through whole remaining both and appearing undiminished
μᾶλλον δὲ καὶ ἐπὶ πλέον οἰδούμενον καὶ αὐξόμενον, ἔπειτα
rather and also to more swelling and growing then
στὰν τῆς κινήσεως ἐμοίγε φαῖνον διάστημα ὡς
having-stopped from-the motion to-me-at-least shining interval as

ὥρας ὅλης μιᾶς, καὶ μετὰ τοῦτο κατακερματισθέν τε καὶ
of-hour whole one and after this having-broken-up both and
κατὰ μικρὸν ὑπορρέον ἠφανίσθη. Τοῦτο τὸ τέρας ὤφθη
by little flowing-away disappeared this the portent was-seen
ἐν οὐρανῷ, εἴτε κομήτης τις ἦν ἀστὴρ, εἴτε λαμπαδίας,
in heaven whether comet some was star or torch-meteor
εἴτε ἄλλο τι τῶν ὑπεκκαυμάτων, οὐκ οἶδα, πλὴν ὄλεθρον
or other some of-the fiery-exhalations not I-know except destruction
σημαῖνον καὶ φθορὰν μεγίστην ἀνθρώπων καὶ ἀπώλειαν,
signifying and corruption greatest of-men and ruin
ἣ καὶ μετὰ μικρὸν ἠκολούθησεν, ὡς ἐν τοῖς ἑξῆς
which also after a-little followed as in the following(-parts)
γενήσεται δῆλον. Καὶ τοῦτο μὲν τοιοῦτον.
will-become clear and this indeed such

Βασιλεὺς δὲ παρεχείμαζεν ἐν Βυζαντίῳ διαναπαύων τε 15.1
emperor and wintered in Byzantium resting both
ἑαυτὸν τῶν μακρῶν πόνων καὶ τὰ κατὰ τὴν πόλιν
himself from-the long toils and the(-things) concerning the city
διατιθεὶς, ὡς εἴωθε, πρὸς τὸ βέλτιον, τόν τε ἐγειρόμενόν
arranging as he-was-wont toward the better the both being-raised
οἱ νεὼν ἐπιμελείας ὅτι πολλῆς ἀξιῶν, τούς τε
for-him temple of-care as much deeming-worthy the both
ἐργαζομένους ἐς τὸ ἔργον ἐπισπέρχων καὶ πάντα τὰ
working for the work urging-on and all the(-things)
κατ᾽ αὐτὸν φιλοτίμως τε καὶ πολυτελῶς γίνεσθαι
concerning it lavishly both and costly to-be-done
προστάσσων τοῖς τεχνίταις καὶ ἐπιστήμοσιν, ὡς αὐτοῦ γε
commanding to-the craftsmen and experts as himself at-least
μηδεμιᾶς δαπάνης ἢ ἀναλωμάτων ἐς τοῦτο φειδομένου ἢ
no expense or outlays for this sparing or
φιλοτιμίας ἐλλείποντος· καὶ μέντοι γε καὶ ἠσκεῖτο καθ᾽
of-lavishness falling-short and indeed at-least also it-was-adorned as

ὅσον οἷόν τε ἦν ἔς τε κάλλος καὶ σχῆμα καὶ θέσιν καὶ
far-as possible — was for both beauty and shape and position and
ποικιλίαν καὶ μέγεθος. Τοῦ δ᾽ αὐτοῦ χειμῶνος ἀφικνεῖται
variety and size of-the and same winter arrives
καὶ πρεσβεία παρὰ τῶν Ἐνετῶν, ἀξιοῦσα λύσιν τε
also embassy from the Venetians asking settlement both
γενέσθαι τῶν διαφορῶν καὶ σπείσεσθαι ἐπὶ τοῖς ἴσοις
to-come-about of-the differences and to-make-truce on the equal
καὶ ὁμοίοις, ἐχόντων ἑκατέρων ἃ ἔχουσι. Βασιλεὺς δὲ
and like(-terms) holding each-side what they-have emperor and
οὐκ ἐδέξατο ἐπὶ τούτοις, ἀλλ᾽ ἀπέπεμψεν ἐπειπών· "ἄπιτε
not accepted on these(-terms) but sent(-them)-away having-added go-away
κάλλιον βουλευσόμενοι, εἴ γε τυχεῖν εἰρήνης βούλοισθε καὶ
better going-to-deliberate if at-least to-obtain peace you-wish and
σπονδῶν παρ᾽ ἐμοῦ·" ᾔτει γὰρ αὐτοὺς ἃς ἔλαβον νήσους
truces from me he-asked for them which they-took islands
Ἴμβρον καὶ Λῆμνον, καὶ φόρον ἐτήσιον καταβαλεῖν αὐτῷ.
Imbros and Lemnos and tribute yearly to-pay to-him
16.1 Ἐν τούτοις ὄντι τῷ βασιλεῖ ἀγγέλλεται τὸν ἡγεμόνα
in these(-things) being for-the emperor it-is-reported the leader
Ἰλλυριῶν Ἀλέξανδρον ξυμμαχίαν τινὰ παρὰ Παιόνων
of-Illyrians Alexander alliance some from Paionians
αἰτήσαντα καὶ λαβόντα καὶ τοὺς οἰκείους ἀγείραντα,
having-asked and having-received and the kinsmen having-gathered
ἐπιθέσθαι λάθρα λοχήσαντα καὶ μηδὲν ὅλως προειδομένῳ
to-have-attacked secretly having-ambushed and nothing at-all foreseeing
τῷ καταλειφθέντι σατράπῃ τοῦ βασιλέως Παλαπάνῳ
the left satrap of-the emperor Balaban
τοὔνομα, περικαθημένῳ τε καὶ πολιορκοῦντι τὸ ἄστυ τοῦ
by-name sitting-around both and besieging the town —
Κροῦες, καὶ καταπλήξαντα τῷ ἀθρόῳ τῆς ἐπιθέσεως καὶ
of-Krujë and having-terrified(-him) by-the suddenness of-the attack and

τρεψάμενον διῶξαί τε καὶ ἀποκτεῖναι πολλοὺς τῶν
having-routed(-him) to-have-pursued both and to-have-killed many of-the(-ones)
ξὺν αὐτῷ καὶ αὐτὸν δὴ τὸν σατράπην ἀγωνιζόμενον καλῶς,
with him and himself indeed the satrap contending well
καὶ νῦν σῖτόν τε ὅτι πολὺν καὶ ὅπλα καὶ πᾶσαν ἄλλην
and now grain both as much and arms and all other
αὐτάρκειάν τε καὶ χρείαν τῶν ἀναγκαίων ἐσενεγκάμενον ἐς
sufficiency both and need of-the necessities having-brought-in into
τὸ ἄστυ, καὶ δὴ καὶ φυλακὴν καλλίονα, ὡς ἐς πολιορκίαν
the town and indeed also garrison better as for siege
μακρὰν, ἀναχωρῆσαι καὶ τῆς ἔξω πάσης χώρας κρατεῖν, τοῦ
long to-have-withdrawn and of-the outer all land to-be-master the
νέου ἄστεος κατακεκλεισμένου καὶ τῶν ἐν αὐτῷ στρατιωτῶν.
new town being-shut-in and the in it soldiers
Τούτων οὕτως ἀγγελθέντων, ἐς ὀργὴν μεγίστην ἐξήχθη
these(-things) so having-been-reported into anger greatest was-carried
ὁ βασιλεὺς, καὶ μηδὲν μελλήσας εὐθὺς στρατιὰν ὅτι
the emperor and nothing having-delayed at-once army as
πολλὴν ἱππικήν τε καὶ πεζικὴν καλῶς παρασκευασάμενος
much cavalry both and infantry well having-prepared
(ἤδη γὰρ καὶ ὁ χειμὼν ἐτελεύτα), ἅμα τῷ ἦρι
already for also the winter was-ending at-once with-the spring
ἀρχομένῳ ἐστράτευσεν ἐπ' αὐτόν. Καὶ γενόμενος κατὰ τὴν
beginning campaigned against him and having-come at the
Ἰλλυριῶν, πᾶσάν τε εὐθὺς κατατρέχει καὶ τὰ ἀποστάντα
of-Illyrians(-land) all both at-once overruns and the revolted(-parts)
ταύτης χειροῦται καὶ φόνον πολὺν τῶν ἀφεστηκότων
of-it subdues and slaughter much of-the revolted(-ones)
ἐργάζεται καὶ τὰ ἐν ποσὶ πάντα καταστρέφεται καὶ
works and the(-things) at feet all subdues and
ληίζεται, ἐμπιπρῶν καὶ δηῶν καὶ διαφθείρων καὶ ἀφανίζων·
plunders burning and ravaging and destroying and blotting-out

καταδιώκει δὲ καὶ τὸν τούτων ἡγεμόνα Ἀλέξανδρον. Ὁ δὲ
pursues and also the of-these leader Alexander he but
καταφεύγει πάλιν ἐπὶ τὰ ἐχυρὰ καὶ ἀπότομα τῶν ὀρῶν
flees again to the strong and sheer(-parts) of-the mountains
καὶ τὰς εἰθισμένας αὐτῷ καταφυγὰς καὶ διατριβὰς τῶν
and the accustomed for-him refuges and haunts of-the
βουνῶν, οὐδὲ θέαν ὅλως ὑπομείνας ὥσπερ Γοργόνος τῆς
hills not-even sight at-all having-endured as of-Gorgon of-the
στρατιᾶς. Βασιλεὺς δὲ διαρπαγήν τε καὶ σκυλμὸν πάντων
army emperor and plunder both and spoiling of-all
ἀνδραπόδων κηρύξας τοῖς στρατιώταις, ἐπαφίησι τοῖς
captives having-proclaimed to-the soldiers lets-loose on-the
ὄρεσι τὸ πλεῖστον καὶ μαχιμώτατον τῆς στρατιᾶς μετὰ
mountains the greatest and most-warlike(-part) of-the army with
τοῦ Μαχουμούτεω, αὐτὸς δὲ ξὺν τῇ λοιπῇ στρατιᾷ
— Mahmud himself and with the rest army
προσκαθήμενος ἐδῄου τὰ λοιπὰ τῆς χώρας, κατὰ σταθμοὺς
sitting-before(-it) laid-waste the rest of-the land by stages
ἐπιπορευόμενος καὶ στρατοπεδεύων. Οἱ δὲ δὴ στρατιῶται,
advancing and encamping the and indeed soldiers
ὁπλῖται, φημὶ, καὶ τοξόται καὶ σφενδονῆται καὶ ἀκοντισταὶ,
hoplites I-mean and archers and slingers and javelin-men
λαβόντες παρὰ τοῦ βασιλέως τὸ ξύνθημα, εὐθὺς ὁρμήσαντες
having-received from the emperor the signal at-once having-rushed
ἀνέβαινον ἐπὶ τὰ ὑπερύψηλα καὶ σκληρὰ καὶ ἀπότομα τῶν
went-up onto the very-high and rough and sheer(-parts) of-the
ὀρῶν, οἷά τινες πτηνοὶ, ξὺν τοῖς ὅπλοις, καὶ πάντα
mountains like some winged(-creatures) with the arms and all
κατέτρεχον ὥσπερ τινὰ πεδία ἱππάσιμα, οὐδενὸς ἐμποδὼν
overran as some plains fit-for-riding no-one in-the-way
ἱσταμένου, καὶ διηρευνήσαντο πάντα ἀκριβῶς καὶ πλέον ἢ
standing and searched all exactly and more than

Δᾶτις (φασὶ) τὴν Ἐρετρικὴν, ὄρη, κρημνοὺς, φάραγγας,
Datis they-say the Eretrian(-land) mountains precipices ravines
καταδύσεις, ἄντρα, χαράδρας, τρώγλας, χηραμοὺς, πάντας
recesses caves gullies holes burrows all
μυχοὺς γῆς, καὶ οὐδὲν ὅ τι τούτους διέλαθεν ἢ διέφυγε
recesses of-earth and nothing what thing them escaped-notice or escaped
καὶ τῶν σφόδρα ἀποτόμων καὶ ἀποκρότων καὶ ἀνημέρων
even of-the very sheer and rocky and wild
καὶ ἀβάτων ὅλως χωρίων, ὅτι μὴ μόνον τὰ φρούρια
and impassable wholly places that not only the fortresses
καὶ οἱ ἐν τούτοις καταπεφευγότες, ἀλλὰ πάντα
and the(-ones) in these having-fled but all
ἁπλῶς κατέδραμον καὶ ἐχειρώσαντο καὶ ἠνδραπόδισαν καὶ
simply they-overran and subdued and enslaved and
διέφθειραν ἐν πέντε καὶ δέκα ταῖς ὅλαις ἡμέραις, καὶ λείαν
destroyed in five and ten the whole days and booty
ἐξήλασαν ὅτι πλείστην ἀνδραπόδων, ἀνδρῶν, γυναικῶν,
drove-out as most of-captives men women
παίδων, βοσκημάτων παντοίων, ἐπίπλων, πάντων ἁπλῶς,
children cattle of-all-kinds furnishings all simply
καὶ κατήγαγον ἀπὸ τῶν ὀρῶν ἐν τῷ στρατοπέδῳ. Ὁ δὲ
and brought-down from the mountains into the camp the and
τῶν Ἰλλυριῶν ἡγεμὼν Ἀλέξανδρος ὡς ἔγνω τὴν ἀρχὴν
of-the Illyrians leader Alexander when he-learned the beginning
κατειλημμένα τὰ ὄρη τῇ στρατιᾷ, φυγὰς εὐθὺς ᾤχετο,
seized the mountains by-the army as-fugitive at-once went-off
οὐδ' ὅποι γῆς εἴη ἐξακουόμενος. Βασιλεὺς δὲ δηώσας
not-even where of-earth he-was being-heard emperor and having-ravaged
πᾶσαν τὴν χώραν καὶ διαφθείρας, ἐπὶ τὸ Κροῦες
all the land and having-destroyed(-it) toward — Krujë
ὥρμησε, καὶ γενόμενος ἐν αὐτῷ, στρατοπεδεύεται πρὸ
rushed and having-come at it encamps before

αὐτοῦ, καὶ χάρακα βαλόμενος καὶ κύκλῳ περιλαβὼν
it and palisade having-pitched and in-circle having-surrounded(-it)
τῷ στρατῷ καὶ μηχανὰς ἐπιστήσας ἐπολιόρκει.
with-the army and engines having-set-up besieged(-it)

17.1 Ἐν ταύταις δὲ ταῖς ἡμέραις, θέρους μεσοῦντος ἤδη,
in these and the days summer mid already
καὶ ἡ λοιμώδης νόσος παντὶ τῷ θέματι Θρᾴκης τε καὶ
also the pestilential disease all the theme of-Thrace both and
Μακεδονίας ἐνέσκηψεν, ἀρξαμένη μὲν ἀπὸ Θετταλίας καὶ
Macedonia struck having-begun indeed from Thessaly and
τῶν ταύτῃ προσχώρων (οὐκ οἶδ' ὅθεν αὐτοῦ τὴν ἀρχὴν
the there neighboring(-lands) not I-know whence there the beginning
ἐπελθοῦσα), ἐπινεμησαμένη δὲ καὶ διαφθείρασα πάσας τὰς
having-come having-spread and and having-destroyed all the
ἐν τῇ μεσογείᾳ καὶ παραλίᾳ τούτων πόλεις καὶ χώρας,
in the inland and coast of-these cities and lands
διαβᾶσα δὲ καὶ ἐς τὴν Ἀσίαν, πᾶσαν τὴν παραλίαν
having-crossed and also into — Asia all the coast
Ἑλλησπόντου τε καὶ Προποντίδος διέφθειρε καὶ ἠρήμωσεν,
of-Hellespont both and Propontis destroyed and desolated
καὶ ἐς τὴν μεσόγειαν ἀναβᾶσα τήν τε τοῦ Προυσίου καὶ
and into the inland having-gone-up the both — of-Prousias(-city) and
τὰ περὶ αὐτὴν ἅπαντα καὶ μέχρι Γαλατίας καὶ δὴ
the(-places) around it all and as-far-as Galatia and indeed
καὶ Γαλατίαν αὐτὴν ἐλυμήνατο καὶ ἠφάνισεν· ἐς δὲ τὴν
also Galatia itself ravaged and blotted-out into and the
μεγάλην ἐσκωμάσασα πόλιν, τὴν Κωνσταντίνου φημὶ, τί
great having-reveled city the of-Constantine(-city) I-mean what
χρὴ καὶ λέγειν ὡς ἄπιστόν τι πάθος ἐν αὐτῇ καὶ ἀκοαῖς
must-one even say as incredible some suffering in it and to-hearings
ὅλως ἄβατον καὶ ἀφόρητον κατειργάσατο; Ἐξεκομίζοντο
wholly impassable and unbearable it-worked were-carried-out

μὲν καθ᾽ ἡμέραν τῶν ἀπολωλότων πλῆθος ἀριθμοῦ
indeed by day of-the(-ones) having-perished multitude than-number
κρεῖττον, οἱ δὲ θάπτοντες οὐκ ἤρκουν ἐς τὰς ταφάς·
greater the(-ones) and burying not sufficed for the burials
οὐ γὰρ ἦσαν· οἱ μὲν γὰρ δεδιότες τὸν φθόρον ἔφευγον
not for they-were the(-ones) indeed for fearing the destruction fled
ἀμεταστρεπτὶ, οὐδὲ τῶν μάλιστα οἰκείων ποιούμενοι
without-turning not-even of-the most kin making
πρόνοιαν ἢ ὅλως ἐπιστρεφόμενοι, καίτοι πολλάκις μετ᾽
provision or at-all turning-back although often with
οἰμωγῆς καὶ θρήνων ἀνακαλουμένων αὐτοὺς, ἀλλὰ
wailing and laments calling-back them but
καταλιμπάνοντες νοσοῦντας ἀτημελήτους, καὶ τεθνεῶτας
leaving sick untended and dead
ἀτάφους· οἱ δὲ καὶ αὐτοὶ ἦσαν ἀναπεπλησμένοι
unburied the(-ones) and also themselves were filled
τῆς λύμης καὶ ὅλως δυσθανατοῦντες καὶ οὐδὲ ἑαυτοῖς
of-the plague and wholly dying-hard and not-even themselves
δυνάμενοι βοηθεῖν. Εἰσὶ δὲ οἳ καὶ κατακλείσαντες ἑαυτοὺς
being-able to-help there-are and who also having-shut themselves
ἐν τοῖς δωματίοις ἔμενον ἀπρόϊτοι, καὶ πολλοὶ ἐξ αὐτῶν
in the rooms remained not-going-out and many of them
αὐτοῦ θνήσκοντες ἔκειντο ἄταφοι ἐπὶ δυσὶ καὶ τρισὶν
there dying lay unburied for two and three
ἡμέραις ἀγνοούμενοι πολλάκις, ἐθάπτοντο δὲ καὶ ξύνδυο
days unknown often were-buried and also two-together
καὶ ξύντρεις καὶ κατὰ πλείους πολλάκις μιᾷ παραδιδόμενοι
and three-together and by more often to-one being-handed-over
θήκῃ, καὶ ὁ θάπτων σήμερον ἕτερον αὔριον ὑπ᾽ ἄλλου
tomb and the(-one) burying today another tomorrow by another
ἐθάπτετο, πρεσβῦται δὲ καὶ θῦται καὶ ἱερεῖς οὐκ ἤρκουν
was-buried elders and and sacrificers and priests not sufficed

ἐς τὰς ἐκφορὰς καὶ ἐξόδους καὶ τὰς ἐπιταφίους ᾠδὰς καὶ
for the carryings-out and processions and the funeral songs and
εὐχὰς, οὐδὲ τῇ γῇ κρύπτειν τοὺς ἀπογινομένους, ἀλλ᾽
prayers nor in-the earth to-hide the(-ones) departing but
ἐξέκαμον· πανημέριοι γὰρ διακαρτεροῦντες ἄβρωτοι καὶ
grew-exhausted all-day for persevering without-food and
ἄσιτοι θέρους ἀντέχειν ὅλως οὐκ εἶχον, ἀπέθνησκον
without-bread in-summer to-hold-out at-all not they-could died
δὲ οἱ μὲν τριταῖοι, οἱ δὲ τεταρταῖοι, οἱ δὲ
and the(-ones) indeed on-the-third-day the(-ones) and on-the-fourth-day the(-ones) and
καὶ ἑβδομαῖοι. Καὶ τὸ δεινὸν καθ᾽ ἡμέραν ἐπεδίδου διὰ
also on-the-seventh-day and the terror by day increased through
πάσης ἡλικίας ἤδη χωροῦν, καὶ ἐπὶ μᾶλλον ἐξήπτετο, καὶ
every age already going and to more was-kindled and
ἡ πόλις ἐκενώθη τῶν οἰκητόρων, ἀστῶν τε καὶ ξένων,
the city was-emptied of-the inhabitants citizens both and foreigners
καὶ χωρίον ἔρημόν τι ὅλως ἀνθρώπων ἐδόκει εἶναι, τῶν
and place desolate some wholly of-men seemed to-be the(-ones)
μὲν ἀπολωλότων τε καὶ ἀπολλυμένων τῇ νόσῳ, τῶν
indeed having-perished both and perishing by-the disease the(-ones)
δὲ, ἥπερ ἔφην, ἐξοικιζομένων τε καὶ φευγόντων, τῶν
and as I-said emigrating both and fleeing the(-ones)
δὲ ἐν τοῖς οἴκοις ὥσπερ καταδίκων ἀποκεκλεισμένων· καὶ
and in the houses as condemned shut-in and
ἡ ἀθυμία πολλὴ καὶ ἡ λύπη οὐ φορητὴ καὶ κοπετὸς καὶ
the despondency much and the grief not bearable and lamentation and
ὀλοφυρμὸς πανταχοῦ, καὶ ἡ ἀπόγνωσις καὶ δυσελπιστία
wailing everywhere and the despair and hopelessness
τὰς πάντων ἐκράτει ψυχὰς, καὶ ἡ τῆς προνοίας ὅλως
the of-all ruled souls and the of-the providence wholly
ἐξερρύηκε δόξα, καὶ πάντα εἰκῇ καὶ ὡς ἔτυχε ἐνομίζετο
had-flowed-out opinion and all at-random and as it-happened was-thought

φέρεσθαι, ὡς οὐδενὸς ἐπιστατοῦντος τῶν γινομένων.
to-be-carried as no-one presiding-over the(-things) happening
Οὕτω πάντας ἐξέπληξε ὁ τοῦ πάθους παράλογος.
so all astonished the of-the suffering unexpectedness
Λέξω δὲ καὶ αὐτὸ τὸ εἶδος τῆς νόσου. Τὰ μὲν γὰρ 18.1
I-will-tell and also very the form of-the disease the(-times) indeed for
πρῶτα περὶ τοὺς βουβῶνας ἐστηρίζετο τὸ δεινὸν ὁποιδήποτε,
first about the groins was-fixed the terror in-whatever-way
καὶ τὸ σημεῖον ἐν τούτοις ἐδείκνυτο ἢ μεῖζον ἢ ἔλαττον·
and the sign in these was-shown either greater or less
ἔπειτα προσέβαλλε σφοδρῶς τῇ κεφαλῇ, καὶ θέρμας ἰσχυρὰς
then it-attacked violently the head and fevers strong
ἐνεποίει ταύτῃ καὶ φλεγμονὰς περί τε τὰς κοιλίας τοῦ
produced in-it and inflammations about both the cavities of-the
ἐγκεφάλου καὶ τοὺς ὑμένας καὶ μήνιγγας, καὶ φλογώσεις
brain and the membranes and meninges and burnings
καὶ ἐρυθήματα τοῦ προσώπου· κἀκ τούτου τισὶ μὲν
and reddenings of-the face and-from this in-some indeed
ἀναισθησίαν ἐνειργάζετο καὶ ὕπνον βαρὺν καὶ καταφοράν,
insensibility produced and sleep heavy and stupor
τισὶ δὲ καὶ τοὐναντίον φρενῖτιν καὶ παραπληξίαν καὶ
in-some and also the-opposite frenzy and derangement and
ἀγρυπνίαν ἐπέφερεν· εἶτα ἐστηρίζετο περὶ τὴν καρδίαν ὁ
sleeplessness brought then was-fixed about the heart the
πόνος ὅλος καὶ τὸ δεινὸν μετὰ πυρετοῦ λάβρου τε καὶ
pain whole and the terror with fever violent both and
διακαοῦς τά τε ἔνδον ξυμφλέγοντος καὶ ξυγκαίοντος καὶ
burning the both inner(-parts) inflaming and burning-up and
φλεγμονὰς ἐμποιοῦντος αὐτῇ σφοδροτάτας, καὶ ἐξόπτησιν
inflammations producing in-it most-violent and roasting
τοῦ ὅλου αἵματος καὶ φθορὰν καὶ ὀδύνας ἰσχυρὰς ἐκ τούτου
of-the whole blood and corruption and pains strong from this

καὶ ἀλγηδόνας δριμείας καὶ βοὰς τῶν ἀπολωλότων, καὶ
and agonies sharp and cries of-the(-ones) having-perished and
παλμοὺς ξυνεχεῖς καὶ ὀξεῖς καὶ ἆσθμα βαρὺ καὶ δυσῶδες
palpitations continuous and sharp and breathing heavy and foul
καὶ φρίκην δεινὴν καὶ ψύξιν καὶ νέκρωσιν τῶν ἄκρων καὶ
and shuddering terrible and chill and deadening of-the extremities and
τελευταῖον θάνατον. Τοιοῦτον δή τι καὶ τὸ εἶδος τῆς
last death such indeed something also the form of-the
νόσου, ὡς ἐμοί γε κατεφάνη εἶναι τὰ πλεῖστα παραλιπόντι.
disease as to-me at-least appeared to-be the most having-omitted

19.1 Βασιλεὺς δ' οὐ πολλὰς ἡμέρας τὸ Κρουῆες πολιορκῶν,
emperor and not many days — Krujë besieging
ἐπειδὴ ἔγνω ἀδύνατά οἱ ἂν οὕτ' ἐκ προσβολῆς
since he-recognized impossible for-him — neither by assault
τοῦτο βίᾳ τοῖς ὅπλοις ἑλεῖν (ἦν γὰρ ἐρυμνότατον τὸ
it by-force with-the arms to-take was for strongest the
ἄστυ καὶ πάντη ἀπόμαχον), οὔτε πειθοῖ προσάξεσθαι,
town and wholly unassailable nor by-persuasion to-win-over
στρατιὰν ἔγνω δεῖν ἱκανὴν αὐτόσε καταλιπόντα καὶ
army he-resolved to-be-needful sufficient there having-left and
στρατηγὸν, ὡς ἐς χρονίαν πολιορκίαν, αὐτὸν ἀναχωρῆσαι
general as for long siege himself to-withdraw
ἐς τὸ Βυζάντιον καὶ μὴ μάτην πονεῖν καὶ κόπτειν αὐτόν
to — Byzantium and not in-vain to-toil and to-weary himself
τε καὶ τὴν στρατιὰν, ἐνὸν λιμῷ τε καὶ πολιορκίᾳ
both and the army it-being-possible by-hunger both and siege
μακρᾷ περιγενέσθαι τοῦ ἄστεος. Καὶ δὴ δόξαν
long to-prevail-over the town and indeed it-having-seemed-good
οὕτω, καταλιπὼν στρατηγὸν αὐτοῦ μετὰ στρατιᾶς ἱκανῆς,
so having-left general there with army sufficient
ἀκραιφνοῦς καὶ νεήλυδος, ὥστε δύνασθαι πολιορκεῖν τὸ
fresh and newly-come so-as to-be-able to-besiege the

ἄστυ καὶ πάσης τῆς ἔξω χώρας κρατεῖν, αὐτὸς διαδοὺς
town and of-all the outer land to-be-master himself having-distributed
τήν τε λείαν ἅπασαν καὶ τὰ ἀνδράποδα πάσῃ τῇ στρατιᾷ,
the both booty all and the captives to-all the army
καὶ ἀπολύσας αὐτοὺς, ἤει ξὺν τῇ ἰδίᾳ αὐλῇ τὴν ἐπὶ τὸ
and having-dismissed them went with the own court the(-road) to —
Βυζάντιον. Πυθόμενος δὲ καθ' ὁδὸν τήν τε χώραν ἅπασαν
Byzantium having-learned and on road the both land all
Θρᾴκης τε καὶ Μακεδονίας καὶ τὰς ἐν αὐτῇ πόλεις, δι'
of-Thrace both and Macedonia and the in it cities through
ὧν ἔμελλε ποεῖσθαι τὴν πάροδον, τῇ λοιμώδει νόσῳ
which he-was-going to-make the passage by-the pestilential disease
κατεχομένας τε καὶ διαφθειρομένας κακῶς, καὶ δὴ καὶ τὴν
held both and destroyed badly and indeed also the
μεγάλην πόλιν αὐτὴν ἀγομένην καὶ φερομένην ὑπό τε τῆς
great city itself being-led and carried by both the
λύμης καὶ τοῦ δεινοῦ, μεταβαλὼν εὐθὺς ἤει τὴν ἐπί τε
plague and the terror having-changed at-once went the(-road) to both
τὸν Αἷμονα καὶ τὴν ἄνω Μυσίαν· ταύτην τε γὰρ ἐπυνθάνετο
— Haimos and the upper Mysia this both for he-learned
καὶ τὰ ὑπὲρ τὸν Αἷμονα πάντα καθαρεύειν τῆς νόσου.
and the(-parts) beyond — Haimos all to-be-clean of-the disease
Καταλαβὼν δὲ τά τε περὶ Νικόπολιν καὶ Βυδήνην χωρία,
having-reached and the both around Nikopolis and Vidin places
ὑγιεινά τε ὄντα καὶ κράσεως εὐκαίρου λαχόντα, διαγέγονε
healthy both being and climate temperate having-obtained he-passed
τὸ φθινόπωρον ὅλον αὐτοῦ διατρίβων. Μετὰ μικρὸν δὲ
the autumn whole there spending-time after a-little and
μαθὼν λωφῆσαν ἤδη τὸ πάθος, καὶ τοῦ λυποῦντος
having-learned having-abated already the suffering and from-the grieving(-thing)
καθαρεύειν τὴν πόλιν (εἶχε γὰρ ἀγγέλους συχνοὺς καθ'
to-be-clean the city he-had for messengers frequent by

ἡμέραν σχεδὸν ἐκ διαδοχῆς διαθέοντας καὶ ἀγγέλλοντας
day nearly in succession running-through and reporting
τὰ ἐκεῖ), χειμῶνος ἀρχομένου ἤδη, ἀφικνεῖται ἐς τὸ
the(-things) there winter beginning already arrives at —
Βυζάντιον. Καὶ πέμπτον δὴ καὶ ἑβδομηκοστὸν ἔτος πρὸς
Byzantium and fifth indeed and seventieth year besides
ἐννακοσίοις τε καὶ ἑξακισχιλίοις τοῖς ὅλοις ἠνύετο,
nine-hundred both and six-thousand in-the total was-being-completed
ἕβδομον δὲ καὶ δέκατον τῆς ἀρχῆς τῷ βασιλεῖ.
seventh and and tenth of-the rule for-the emperor